# Lucian's Dialogues

Prepared for Schools
With Short Notes in Greek

W. H. D. Rouse, M.A., Litt.D.

*** A Distributed Proofreaders Canada eBook ***

This eBook is made available at no cost and with very few restrictions. These restrictions apply only if (1) you make a change in the eBook (other than alteration for different display devices), or (2) you are making commercial use of the eBook. If either of these conditions applies, please contact a https://www.fadedpage.com administrator before proceeding. Thousands more FREE eBooks are available at https://www.fadedpage.com.

This work is in the Canadian public domain, but may be under copyright in some countries. If you live outside Canada, check your country's copyright laws. IF THE BOOK IS UNDER COPYRIGHT IN YOUR COUNTRY, DO NOT DOWNLOAD OR REDISTRIBUTE THIS FILE.
*Title:* Lucian's Dialogues Prepared for Schools with Short Notes in Greek
*Date of first publication:* 1909
*Author:* William Henry Denham Rouse (1863-1950)
*Date first posted:* Oct. 18, 2019
*Date last updated:* Oct. 18, 2019
Faded Page eBook #20191045

This eBook was produced by: rmedinap, Howard Ross & the online Distributed Proofreaders Canada team at https://www.pgdpcanada.net

This file was produced from images generously made available by https://catalog.hathitrust.org/Record/001845241

# LUCIAN'S DIALOGUES

## PREPARED FOR SCHOOLS

WITH SHORT NOTES IN GREEK

BY

W. H. D. ROUSE, M.A., Litt.D.

HEAD MASTER OF PERSE GRAMMAR SCHOOL
CAMBRIDGE

**Transcriber's Notes**

OXFORD
AT THE CLARENDON PRESS
1909

HENRY FROWDE, M.A.

PUBLISHER TO THE UNIVERSITY OF OXFORD
LONDON, EDINBURGH, NEW YORK
TORONTO AND MELBOURNE

# PREFACE

This book contains most of Lucian's *Dialogues*, prepared for school use by certain omissions and changes. The syntax has been changed where it did not accord with the normal Attic (mostly in the use of ἄν and a few particles), and rare or poetical words have sometimes been simplified. The style, however, is much what it was. It would not be possible to make the style agree with the best Attic without a good deal of new writing; and, although the style of Lucian is more cumbrous than Plato's, yet this very fault gives scope for paraphrase as a simpler style would not do. We shall see later how this comes into the question. It is a great comfort that the readers will forget most of the words and forms used, unless the master takes pains to fix them in the memory; in such cases he may fix the simpler paraphrase, leaving the verbiage to take care of itself. If the pupils, after reading the book, can express the meaning of any passage in simpler words, they will understand the meaning, which is the essential thing; and if at the same time they are able to recognize and understand certain long or ugly phrases, that will do them no harm. They will not be tempted to use these phrases rather than the simpler and easier phrases.

Moreover, such disadvantages as there are in Lucian's style are many times outweighed by the lively interest that he inspires. I have found the *Dialogues*, as far as substance goes, an almost perfect book for a first author. Many of them are short enough for one lesson; all are full of wit, and such wit as the boy's mind can enjoy. They also teach, or cause to be learnt, a good deal of mythology; and, since the humorous aspect of Olympus is natural to the Greek from Homer onwards, the reader will not get a false or unhistorical impression. He is not yet ready to understand the serious side of Greek religion, which will be impressed on him when he comes to read Aeschylus, Sophocles, and Plato. Moreover, the boy who leaves school after one year of Greek will carry with him from Lucian a pleasant memory such as is not given by Greek grammars and exercise-books. If he gives a second year to the study of Greek, he will have read some Homer or Herodotus, and Plato's *Apology* or some other prose work of value.

The notes are in Greek. They are meant to be used in a way shortly to be described; but any master who prefers to put them at once into the hands of his class will still find them useful. The boy is in that case given a choice of two things: either he may read them, in which case some of his difficulties are solved, but he has to read more Greek in order to solve them; or he may

look up the words and names in his dictionary, in which case he has the practice of looking them up. In neither case will he get his information without doing something for it. Many teachers believe that looking up words in a dictionary is good for the learner; these also will be able to use this book. It may not be out of place, however, to ask those who believe this whether they have any reason for their belief. I do not know that any one has made any systematic inquiry into the use of the dictionary, to find out how long it takes beginners to look up words and what their minds are doing while they are looking them up. I cannot pretend to have done this systematically; but the few inquiries we have made in this school, go to show that to look up words takes a very long time for the beginner, even when he has not a dictionary with many meanings to the word, but a special vocabulary with only one or two meanings. It certainly distracts his attention, and he has to resume the thread of his thought before he can fit in his new word, which also takes time. My own state of mind in looking up new words is quite clear to me: it is a blank, out of which emerges now a word expressive of exasperation, now the address of a friend forgotten and puzzled over, or other flotsam of the subconsciousness. If it were so that all this time the new word should be impressing itself on the memory, well and good; but it does not seem to be so, and if not, here is another of the time-wasting devices which have become sacred in schools.

# HINTS TO THE MASTER

The following I have found to be the best way of using this book.

The pupils are in their first year of Greek; they have worked through all the common accidence and syntax, and the various exercises in reading or composition that belong to the beginner's stage. They are provided with a reference grammar, containing accidence, outline of syntax, and a table of the commonest irregular verbs. Our problem now is to fix the grammar by use, and to enlarge the vocabulary.

*Preparation.* The text alone is put into the boys' hands, the booklet of notes being kept for revision. The master reads the text of a dialogue aloud in Greek. Each boy is expected to ask, in Greek, for an explanation of anything he does not understand. This the master gives by paraphrasing the new word in simple Greek words already known; and all the class (not the one only) write the explanation in their notebooks, with accents, carefully. The master must assure himself that this is done, by going round and looking as he dictates, or by calling up the boys in turn to his desk. When this care is taken, accuracy soon becomes a habit. Parts of new verbs, or other forms, may be treated in the same way. When the whole piece has been done, if time be left, the boys are asked to read it over in Greek, two (or more) taking parts as the characters.

*Home Work.* The passage thus read is translated into English, at first in writing, later in writing or not, as proves to be more convenient. Any new forms are looked up in the grammar, and verb-tenses learnt.

*The next lesson* will begin with the reading out of one or more of these versions, which the master will criticize; they will then be collected, and he can examine them all later. He will thus be able to see where his explanations were not clear or sufficient, and this will guide him the next time. There is no need to give back the papers, although criticism may be made, of praise or blame, if time allows, with grammar drill where the need is shown.

Preparation for next day follows; and this will take up most of the lesson. At this stage the learner is not fit to do his preparation unaided.

*Composition* will be learnt by the continual practice of question and answer, and by the paraphrases written in the notebooks. The master can practise almost any construction that he wishes to practise, by changing the

form of his note. More formal exercises should be given occasionally, in the following forms: (1) a free English translation of some passages of the text may be given to be put into Greek, not necessarily word for word; (2) shorter sentences, also taken or adapted from the text, to be translated exactly; (3) passages of English of a similar type may be set for translation; (4) the substance of any passage of the text may be set to be written in the boys' own words; (5) similar themes may be set to be written up in the boys' own words.

Of these (1) is very useful, and may form a part of the home-work instead of the English version, on certain days. No. (2) is also good, so long as the sentences bear on the text or on the grammar arising out of it, but anything arbitrary is sure to cause weariness. No. (3) is more advanced; Nos. (4) and (5) are too difficult for the first year of Greek, but are good later.

It is found that by working on this plan the translation of the boys is much better than if each lesson were construed in class; and the work is not mechanical, but individual.

Very little revision is needed; once reading through at the end of term, in Greek, is enough, the master now asking the questions, and the boys answering him in the same language. At this stage the printed notes are to be given to the class, for checking their own. Meanwhile they may have been useful to the master in suggesting each day how he may treat the next lesson.

A little ingenuity and experience will suggest many other ways of driving the work home. For instance, if the boys have a dictionary of biography and mythology, one evening's work may be to write a short account in Greek of some of the personages mentioned in the part prepared: if these are many, they may be divided amongst the boys. Or again, the boys may prepare a dialogue for acting, and recite it in their own words, if they prefer.

I wish to repeat that these hints are not evolved out of the imagination, but are the result of all sorts of different experiments, carried on during eight years. I shall be grateful if any one who uses the book will give me some hints derived from his own experience.

[1]

# ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ

## 1

## ΠΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ

ΠΡΟΜ. Λῦσόν με, ὦ Ζεῦ· δεινὰ γὰρ ἤδη πέπονθα.

ΖΕΥΣ. Λύσω σε, φῄς, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα, καὶ τὸν Καύκασον ὅλον ὑπὲρ κεφαλῆς ἐπικείμενον, ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ' ὧν τοιαῦθ' ἡμῖν ζῷα τοὺς ἀνθρώπους ἔπλασας, καὶ τὸ πῦρ ἔκλεψας, καὶ γυναῖκας ἐδημιούργησας; ἃ μὲν γὰρ ἐμὲ ἐξηπάτησας ἐν τῇ νομῇ τῶν κρεῶν, ὀστᾶ πιμελῇ κεκαλυμμένα παραθεὶς καὶ τὴν ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν;

ΠΡΟΜ. Οὔκουν ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτεικα, τοσοῦτον χρόνον τῷ Καυκάσῳ προσηλωμένος, τὸν κάκιστα ὀρνίθων ἀπολούμενον αἰετὸν τρέφων τῷ ἥπατι;

ΖΕΥΣ. Οὐδὲ πολλοστημόριον τοῦτο ὧν σε δεῖ παθεῖν.

ΠΡΟΜ. Καὶ μὴν οὐκ ἀμισθί με λύσεις, ἀλλά σοι μηνύσω τι, ὦ Ζεῦ, πάνυ ἀναγκαῖον.

ΖΕΥΣ. Κατασοφίζῃ με, ὦ Προμηθεῦ.

ΠΡΟΜ. Καὶ τί πλέον ἕξω; οὐ γὰρ ἀγνοήσεις αὖθις ἔνθα ὁ Καύκασός ἐστιν, οὐδὲ ἀπορήσεις δεσμῶν, ἤν τι τεχνάζων ἁλίσκωμαι.

[2]

ΖΕΥΣ. Εἰπὲ πρότερον, ὅντινα μισθὸν ἀποτείσεις ἀναγκαῖον ἡμῖν ὄντα.

ΠΡΟΜ. Ἢν εἴπω ἐφ' ὅ τι βαδίζεις νῦν, ἀξιόπιστος ἔσομαί σοι καὶ περὶ τῶν ὑπολοίπων μαντευόμενος;

ΖΕΥΣ. Πῶς γὰρ οὔ;

ΠΡΟΜ. Παρὰ τὴν Θέτιν, γυναῖκα ληψόμενος αὐτήν.

ΖΕΥΣ. Τουτὶ μὲν ἔγνως· τί δ' οὖν τὸ ἐπὶ τούτῳ; δοκεῖς γὰρ ἀληθές τι ἐρεῖν.

ΠΡΟΜ. Μηδέν, ὦ Ζεῦ, κοινωνήσῃς τῇ Νηρηΐδι· ἢν γὰρ αὕτη τέκῃ τι ἐκ σοῦ, τὸ τεχθὲν ἴσα ἐργάσεταί σε οἷα καὶ σὺ ἔδρασας—

ΖΕΥΣ. Τοῦτο φής, ἐκπεσεῖσθαί με τῆς ἀρχῆς;

ΠΡΟΜ. Μὴ γένοιτο, ὦ Ζεῦ. πλὴν τοιοῦτό γε ἡ μείξις αὐτῆς ἀπειλεῖ.

ΖΕΥΣ. Χαιρέτω τοιγαροῦν ἡ Θέτις· σὲ δὲ ὁ Ἥφαιστος ἐπὶ τούτοις λυσάτω.

## 2

## ΔΙΟΣ ΚΑΙ ΓΑΝΥΜΗΔΟΥΣ

ΖΕΥΣ. Ἄγε, ὦ Γανύμηδες—ἥκομεν γὰρ ἔνθα ἐχρῆν—ὁρᾷς με νῦν οὐκέτι ῥάμφος ἀγκύλον ἔχοντα οὐδ' ὄνυχας ὀξεῖς οὐδὲ πτερά, οἷος ἐφαινόμην σοι πτηνὸς εἶναι δοκῶν.

ΓΑΝ. Ἄνθρωπε, οὐκ αἰετὸς ἄρτι ἦσθα καὶ καταπτάμενος ἥρπασάς με ἀπὸ μέσου τοῦ ποιμνίου; πῶς οὖν τὰ μὲν πτερά σοι ἐκεῖνα ἐξερρύηκε, σὺ δὲ ἄλλος ἤδη ἀναπέφηνας;

ΖΕΥΣ. Ἀλλ' οὔτε ἄνθρωπον ὁρᾷς, ὦ μειράκιον,

[3]

οὔτε αἰετόν, ὁ δὲ πάντων βασιλεὺς τῶν θεῶν οὗτός εἰμι πρὸς τὸν καιρὸν ἀλλάξας ἐμαυτόν.

ΓΑΝ. Τί φῄς; σὺ γὰρ εἶ ὁ Πὰν ἐκεῖνος; εἶτα πῶς σύριγγα οὐκ ἔχεις οὐδὲ κέρατα οὐδὲ λάσιος εἶ τὰ σκέλη;

ΖΕΥΣ. Μόνον γὰρ ἐκεῖνον ἡγῇ θεόν;

ΓΑΝ. Ναί· καὶ θύομέν γε αὐτῷ τράγον ἐπὶ τὸ σπήλαιον ἄγοντες, ἔνθα ἕστηκε· σὺ δὲ ἀνδραποδιστής τις εἶναί μοι δοκεῖς.

ΖΕΥΣ. Εἰπέ μοι· Διὸς δὲ οὐκ ἤκουσας ὄνομα οὐδὲ βωμὸν εἶδες ἐν τῷ Γαργάρῳ τοῦ ὕοντος καὶ βροντῶντος καὶ ἀστράπτοντος;

ΓΑΝ. Σύ, ὦ βέλτιστε, φῂς εἶναι, ὃς πρῴην κατέχεας ἡμῖν τὴν πολλὴν χάλαζαν, ὁ οἰκεῖν ἄνω λεγόμενος, ὁ ποιούμενος τὸν ψόφον, ᾧ τὸν κριὸν ὁ πατὴρ ἔθυσεν; εἶτα τί ἀδικήσαντά με ἀνήρπασας, ὦ βασιλεῦ τῶν θεῶν; τὰ δὲ πρόβατα ἴσως οἱ λύκοι διαρπάσονται ἤδη ἐρήμοις ἐπιπεσόντες.

ΖΕΥΣ. Ἔτι γὰρ μέλει σοι τῶν προβάτων ἀθανάτῳ γεγενημένῳ καὶ ἐνταῦθα συνεσομένῳ μεθ' ἡμῶν;

ΓΑΝ. Τί λέγεις; οὐ γὰρ κατάξεις με ἤδη ἐς τὴν Ἴδην τήμερον;

ΖΕΥΣ. Οὐδαμῶς· ἐπεὶ μάτην αἰετὸς ἂν εἴην ἀντὶ θεοῦ γεγενημένος.

ΓΑΝ. Οὐκοῦν ἐπιζητήσει με ὁ πατὴρ καὶ ἀγανακτήσει μὴ εὑρίσκων, καὶ πληγὰς ὕστερον λήψομαι καταλιπὼν τὸ ποίμνιον.

ΖΕΥΣ. Ποῦ γὰρ ἐκεῖνος ὄψεταί σε;

ΓΑΝ. Μηδαμῶς· ποθῶ γὰρ ἤδη αὐτόν. εἰ δὲ ἀπάξεις

[4]

με, ὑπισχνοῦμαί σοι καὶ ἄλλον παρ' αὐτοῦ κριὸν θύσειν λύτρα ὑπὲρ ἐμοῦ. ἔχομεν δὲ τὸν τριετῆ, τὸν μέγαν, ὃς ἡγεῖται πρὸς τὴν νομήν.

ΖΕΥΣ. Ὡς ἀφελὴς ὁ παῖς ἐστι καὶ ἁπλοῦς καὶ αὐτὸ δὴ τοῦτο παῖς ἔτι.—ἀλλ', ὦ Γανύμηδες, ἐκεῖνα μὲν πάντα χαίρειν ἔα καὶ ἐπιλάθου αὐτῶν, τοῦ τε ποιμνίου καὶ τῆς Ἴδης. σὺ δὲ—ἤδη γὰρ ἐπουράνιος εἶ— πολλὰ εὖ ποιήσεις ἐντεῦθεν καὶ τὸν πατέρα καὶ τὴν πατρίδα, καὶ ἀντὶ μὲν τυροῦ καὶ γάλακτος ἀμβροσίαν ἔδῃ καὶ νέκταρ πίῃ· τοῦτο μέντοι καὶ τοῖς ἄλλοις ἡμῖν αὐτὸς παρέξεις ἐγχέων· τὸ δὲ μέγιστον, οὐκέτι ἄνθρωπος, ἀλλ' ἀθάνατος γενήσῃ, καὶ ἀστέρα σου φαίνεσθαι ποιήσω κάλλιστον, καὶ ὅλως εὐδαίμων ἔσῃ.

ΓΑΝ. Ἢν δὲ παίζειν ἐπιθυμήσω, τίς συμπαίξεταί μοι; ἐν γὰρ τῇ Ἴδῃ πολλοὶ ἡλικιῶται ἦμεν.

ΖΕΥΣ. Ἔχεις κἀνταῦθα τὸν συμπαιξόμενόν σοι τουτονὶ τὸν Ἔρωτα καὶ ἀστραγάλους μάλα πολλούς. θάρρει μόνον καὶ φαιδρὸς ἴσθι καὶ μηδὲν ἐπιπόθει τῶν κάτω.

ΓΑΝ. Τί δαὶ ὑμῖν χρήσιμος ἂν γενοίμην; ἢ ποιμαίνειν δεήσει κἀνταῦθα;

ΖΕΥΣ. Οὔκ, ἀλλ' οἰνοχοήσεις καὶ ἐπὶ τοῦ νέκταρος τετάξῃ καὶ ἐπιμελήσῃ τοῦ συμποσίου.

ΓΑΝ. Τοῦτο μὲν οὐ χαλεπόν· οἶδα γὰρ ὡς χρὴ ἐγχέαι τὸ γάλα καὶ περιφέρειν τὸ κισσύβιον.

ΖΕΥΣ. Ἰδού, πάλιν οὗτος γάλακτος μνημονεύει καὶ ἀνθρώποις διακονήσειν οἴεται· ταυτὶ δ' ὁ οὐρανός ἐστι, καὶ πίνομεν, ὥσπερ ἔφην, τὸ νέκταρ.

ΓΑΝ. Ἥδιον, ὦ Ζεῦ, τοῦ γάλακτος;

[5]

ΖΕΥΣ. Εἴσῃ μετ' ὀλίγον καὶ γευσάμενος οὐκέτι ποθήσεις τὸ γάλα. νῦν δὲ ἄπαγε αὐτόν, ὦ Ἑρμῆ, καὶ ἐπειδὰν πίῃ τῆς ἀθανασίας, ἄγε οἰνοχοήσοντα ἡμῖν, διδάξας πρότερον ὡς χρὴ ὀρέγειν τὸν σκύφον.

## 3

## ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ

ΗΦ. Ἑόρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν; ὡς καλόν τέ ἐστι καὶ προσμειδιᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον.

ΑΠ. Ἐκεῖνο τὸ βρέφος, ὦ Ἥφαιστε, ἢ μέγα ἀγαθόν, ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν τῇ πανουργίᾳ;

ΗΦ. Καὶ τί ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν;

ΑΠ. Ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν, ἢ τὸν Ἄρη· καὶ τούτου γὰρ ἐξείλκυσε λαθὸν ἐκ τοῦ κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου καὶ τῶν βελῶν.

ΗΦ. Τὸ νεογνὸν ταῦτα, ὃ μόλις ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις;

ΑΠ. Εἴσῃ, ὦ Ἥφαιστε, ἤν σοι προσέλθῃ μόνον.

ΗΦ. Καὶ μὴν προσῆλθεν ἤδη.

ΑΠ. Τί οὖν; πάντα ἔχεις τὰ ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν;

ΗΦ. Πάντα, ὦ Ἄπολλον.

ΑΠ. Ὅμως ἐπίσκεψαι ἀκριβῶς.

ΗΦ. Μὰ Δία, τὴν πυράγραν οὐχ ὁρῶ.

ΑΠ. Ἀλλ' ὄψῃ που ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους.

[6]

ΗΦ. Οὕτως ὀξύχειρ ἐστὶν ὥσπερ πρὶν γεγονέναι ἐκμελετήσας τὴν κλεπτικήν;

ΑΠ. Οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος ἤδη στωμύλα καὶ ἐπίτροχα· ὁ δὲ καὶ διακονεῖν ἡμῖν ἐθέλει. χθὲς δὲ προκαλεσάμενος τὸν Ἔρωτα κατεπάλαισεν εὐθύς, οὐκ οἶδ' ὅπως, ὑφελὼν τὼ πόδε· εἶτα μεταξὺ ἐπαινούμενος, τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν ἔκλεψε ἀσπαζομένης αὐτὸν ἐπὶ τῇ νίκῃ, τοῦ Διὸς δὲ γελῶντος ἔτι τὸ σκῆπτρον· εἰ δὲ μὴ βαρύτερος ὁ κεραυνὸς ἦν καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο.

ΗΦ. Γοργόν τινα τὸν παῖδα φής.

ΑΠ. Οὐ μόνον, ἀλλ' ἤδη καὶ μουσικόν.

ΗΦ. Τῷ τοῦτο τεκμαίρεσθαι ἔχεις;

ΑΠ. Χελώνην που νεκρὰν εὑρὼν ὄργανον ἀπ' αὐτῆς συνεπήξατο· πήχεις γὰρ ἐναρμόσας καὶ ζυγώσας, ἔπειτα κολλάβους ἐμπήξας, καὶ μαγάδα ὑποθείς, καὶ ἐντεινάμενος ἑπτὰ χορδάς, ἐμελῴδει πάνυ ἡδύ, ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν πάλαι κιθαρίζειν ἀσκοῦντα. ἔλεγε δὲ ἡ Μαῖα, ὡς μηδὲ μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ' ὑπὸ περιεργίας ἄχρι τοῦ ᾅδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή. ὑπόπτερος δ' ἐστὶ καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ καὶ κατάγει τοὺς νεκρούς.

ΗΦ. Ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι.

ΑΠ. Τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθόν, τὴν πυράγραν—

ΗΦ. Εὖ γε ὑπέμνησας· ὥστε βαδιοῦμαι ἀποληψόμενος αὐτήν, εἴ που ὡς φὴς εὑρεθείη ἐν τοῖς σπαργάνοις.

[7]

4

## ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ

ΗΦ. Τί με, ὦ Ζεῦ, χρὴ ποιεῖν; ἥκω γάρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθον δέοι μιᾷ πληγῇ διακόψαι.

ΖΕΥΣ. Εὖ γε, ὦ Ἥφαιστε· ἀλλὰ δίελέ μου τὴν κεφαλὴν ἐς δύο κατενεγκών.

ΗΦ. Πειρᾷ μου, εἰ μέμηνα; πρόστατπε δ' οὖν τι ἄλλο ὅπερ ἐθέλεις σοι γενέσθαι.

ΖΕΥΣ. Τοῦτο αὐτό, διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ. ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν.

ΗΦ. Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι καὶ οὐκ ἀναιμωτὶ τοῦτο ποιήσει.

ΖΕΥΣ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα ἐγὼ τὸ συμφέρον.

ΗΦ. Ἄκων μέν, κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν σοῦ κελεύοντος;—τί τοῦτο; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα τηλικαύτην ὑπὸ τῇ μήνιγγι παρθένον ἔχων, καὶ ταύτην ἔνοπλον· ἦ που στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ καὶ πυρριχίζει καὶ τὴν ἀσπίδα κινεῖ καὶ τὸ δόρυ πάλλει καὶ ἐνθουσιάζει, καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μέν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς. ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας ἤδη αὐτήν.

ΖΕΥΣ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ ἐθελήσει μένειν. ἐγὼ δ' οὖν τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω.

ΗΦ. Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά, καὶ ἤδη συναρπάσω αὐτήν.

ΖΕΥΣ. Εἴ σοι ῥᾴδιον, οὕτω ποίει· πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

## 5

## ΔΙΟΣ. ΑΣΚΛΗΠΙΟΥ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ

ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.

ΗΡΑ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;

ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι.

ΗΡΑ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;

ΑΣΚ. Ἐπιλέλησαι γὰρ καὶ σύ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεχθείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

ΗΡΑ. Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὴν γῆν, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδείγμενος.

ΑΣΚ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρῴην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθαρμένος

τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός. ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκώς, καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλὰ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

ΗΡΑ. Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα.

ΖΕΥΣ. Παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ ξυμποσίου. καίτοι εἰκός, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

## 6

## ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ

ΕΡΜ. Τί σκυθρωπός, ὦ Ἄπολλον;

ΑΠ. Ὅτι, ὦ Ἑρμῆ, πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου.

ΕΡΜ. Τέθνηκε γάρ, εἰπέ μοι, ὁ Ὑάκινθος;

ΑΠ. Καὶ μάλα.

ΕΡΜ. Πρὸς τίνος, ὦ Ἄπολλον; ἢ τίς οὕτω σχέτλιος ἦν ὥστ' ἀποκτεῖναι τὸ καλὸν ἐκεῖνο μειράκιον;

ΑΠ. Αὐτοῦ ἐμοῦ τὸ ἔργον.

ΕΡΜ. Οὐκοῦν ἐμάνης, ὦ Ἄπολλον;

ΑΠ. Οὔκ, ἀλλὰ δυστύχημά τι ἀκούσιον ἐγένετο.

ΕΡΜ. Πῶς; ἐθέλω γὰρ ἀκοῦσαι τὸν τρόπον.

ΑΠ. Δισκεύειν ἐμάνθανε, κἀγὼ συνεδίσκευον αὐτῷ,

ὁ δὲ κάκιστα ἀνέμων ἀπολούμενος ὁ Ζέφυρος ἐφθόνει μὲν ἐκ πολλοῦ· ὥστ' ἐγὼ μὲν ἀνέρριψα, ὥσπερ εἰώθειμεν, τὸν δίσκον ἐς τὸ ἄνω, ὁ δὲ ἀπὸ τοῦ Ταϋγέτου καταπνεύσας ἐπὶ κεφαλὴν τῷ παιδὶ ἐνέσεισε φέρων αὐτόν, ὥστε ἀπὸ τῆς πληγῆς αἷμά τε ῥυῆναι πολὺ καὶ τὸν παῖδα εὐθέως ἀποθανεῖν. ἀλλὰ ἐγὼ τὸν μὲν Ζέφυρον αὐτίκα ἠμυνάμην κατατοξεύσας, φεύγοντι ἐπισπόμενος ἄχρι τοῦ ὄρους, τῷ παιδὶ δὲ καὶ τὸν τάφον ἐχωσάμην ἐν Ἀμύκλαις, ὅπου ὁ δίσκος αὐτὸν κατέβαλε, καὶ ἀπὸ τοῦ αἵματος ἄνθος ἀναδοῦναι τὴν γῆν ἐποίησα ἥδιστον, ὦ Ἑρμῆ, καὶ εὐανθέστατον ἀνθέων ἁπάντων, ἔτι καὶ γράμματα ἔχον ἐπαιάζοντα τῷ νεκρῷ. ἆρά σοι ἀλόγως λελυπῆσθαι δοκῶ;

ΕΡΜ. Ναί, ὦ Ἄπολλον· ᾔδησθα γὰρ θνητὸν ὄντα· ὥστε μὴ ἄχθου ἀποθανόντος.

## 7

## ΗΡΑΣ ΚΑΙ ΛΗΤΟΥΣ

ΗΡΑ. Καλὰ μέν, ὦ Λητοῖ, καὶ τὰ τέκνα ἔτεκες τῷ Διί.

ΛΗΤ. Οὐ πᾶσαι, ὦ Ἥρα, τοιούτους τίκτειν δυνάμεθα, οἷος ὁ Ἥφαιστός ἐστιν.

ΗΡΑ. Ἀλλὰ οὗτος μὲν ὁ χωλὸς ὅμως χρήσιμός γε ἐστι, τεχνίτης ὢν ἄριστος, καὶ κατακεκόσμηκεν ἡμῖν τὸν οὐρανόν, καὶ τὴν Ἀφροδίτην ἔγημε, καὶ σπουδάζεται πρὸς αὐτῆς· οἱ δὲ σοὶ παῖδες, ἡ μὲν αὐτῶν ἀρρενικὴ πέρα τοῦ μετρίου καὶ ὄρειος, καὶ τὸ τελευταῖον ἐς τὴν Σκυθίαν ἀπελθοῦσα πάντες ἴσασιν οἷα ἐσθίει, ξενοκτονοῦσα καὶ

[11]

μιμουμένη τοὺς Σκύθας αὐτοὺς ἀνθρωποφάγους ὄντας· ὁ δὲ Ἀπόλλων προσποιεῖται μὲν πάντα εἰδέναι, καὶ τοξεύειν, καὶ κιθαρίζειν, καὶ ἰατρὸς εἶναι, καὶ μαντεύεσθαι, καὶ καταστησάμενος ἐργαστήρια τῆς μαντικῆς, τὸ μὲν ἐν Δελφοῖς, τὸ δὲ ἐν Κλάρῳ, καὶ ἐν Διδύμοις ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ, λοξὰ καὶ ἐπαμφοτερίζοντα πρὸς ἑκάτερον τῆς ἐρωτήσεως ἀποκρινόμενος, ὥστ' ἀκίνδυνον εἶναι τὸ σφάλμα. καὶ πλουτεῖ μὲν ἀπὸ τοῦ τοιούτου· πολλοὶ γὰρ οἱ ἀνόητοι καὶ παρέχοντες αὑτοὺς καταγοητεύεσθαι· πλὴν οὐκ ἀγνοεῖταί γε ὑπὸ τῶν συνετωτέρων τὰ πολλὰ τερατευόμενος· αὐτὸς γοῦν ὁ μάντις ἠγνόει μὲν ὅτι φονεύσει τὸν Ὑάκινθον τῷ δίσκῳ, οὐ προεμαντεύσατο δὲ ὡς φεύξεται αὐτὸν ἡ Δάφνη, καὶ ταῦτα οὕτω καλὸν καὶ κομήτην ὄντα. ὥστε οὐχ ὁρῶ ὅπως καλλιτεκνοτέρα τῆς Νιόβης ἔδοξας.

ΛΗΤ. Ταῦτα μέντοι τὰ τέκνα, ἡ ξενοκτόνος καὶ ὁ ψευδόμαντις, οἶδα ὅπως λυπεῖ σε ὅταν ὁρᾷς ἐν τοῖς θεοῖς, καὶ μάλιστα ὁπόταν ἡ μὲν ἐπαινῆται ἐς τὸ κάλλος, ὁ δὲ κιθαρίζῃ ἐν τῷ συμποσίῳ θαυμαζόμενος ὑφ' ἁπάντων.

ΗΡΑ. Ἐγέλασα, ὦ Λητοῖ· ἐκεῖνος θαυμαστός, ὃν ὁ Μαρσύας, εἰ τὰ δίκαια αἱ Μοῦσαι δικάσαι ἤθελον, ἀπέδειρεν ἂν αὐτός, κρατήσας τῇ μουσικῇ· νῦν δὲ ἀπατηθεὶς ἄθλιος ἀπόλωλεν, ἀδίκως ἁλούς· ἡ δὲ καλή σου παρθένος οὕτω καλή ἐστιν, ὥστε ἐπεὶ ἔμαθεν ὀφθεῖσα ὑπὸ τοῦ Ἀκταίωνος, φοβηθεῖσα μὴ ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, ἐπαφῆκεν αὐτῷ τοὺς κύνας.

ΛΗΤ. Μέγα, ὦ Ἥρα, φρονεῖς, ὅτι ξύνει τῷ Διὶ

[12]

καὶ συμβασιλεύεις αὐτῷ, καὶ διὰ τοῦτο ὑβρίζεις ἀδεῶς· πλὴν ἀλλ' ὄψομαί σε μετ' ὀλίγον αὖθις δακρύουσαν, ὁπόταν σε καταλιπὼν ἐς τὴν γῆν κατίῃ.

## 8

## ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ

ΑΦΡ. Τί δήποτε, ὦ Ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν Δία, τὸν Ποσειδῶ, τὸν Ἀπόλλω, τὴν Ῥέαν, ἐμὲ τὴν μητέρα, μόνης δὲ ἀπέχῃ τῆς Ἀθηνᾶς καὶ ἐπ' ἐκείνης ἄπυρος μέν σοι ἡ δᾴς, κενὴ δὲ οἰστῶν ἡ φαρέτρα, σὺ δὲ ἄτοξος εἶ καὶ ἄστοχος;

ΕΡ. Δέδια, ὦ μῆτερ, αὐτήν· φοβερὰ γάρ ἐστι καὶ χαροπὴ καὶ δεινῶς ἀνδρική· ὁπόταν γοῦν ἐντεινάμενος τὸ τόξον ἴω ἐπ' αὐτήν, ἐπισείουσα τὸν λόφον ἐκπλήττει με καὶ ὑπότρομος γίγνομαι, καὶ ἀπορρεῖ μου τὰ τοξεύματα ἐκ τῶν χειρῶν.

ΑΦΡ. Ὁ Ἄρης γὰρ οὐ φοβερώτερος ἦν; καὶ ὅμως ἀφώπλισας αὐτὸν καὶ νενίκηκας.

ΕΡ. Ἀλλὰ ἐκεῖνος ἑκὼν προσίεταί με καὶ προσκαλεῖται, ἡ Ἀθηνᾶ δὲ ὑφορᾶται ἀεί, καί ποτε ἐγὼ μὲν ἄλλως παρέπτην πλησίον ἔχων τὴν λαμπάδα, ἡ δέ, "εἴ μοι πρόσει, φησί, νὴ τὸν πατέρα, τῷ δορατίῳ σε διαπείρασα, ἢ τοῦ ποδὸς λαβομένη καὶ ἐς τὸν Τάρταρον ἐμβαλοῦσα, ἢ αὐτὴ διασπασαμένη, διαφθερῶ". πολλὰ τοιαῦτα ἠπείλησε· ὁρᾷ δὲ δριμύ, καὶ ἐπὶ τοῦ στήθους ἔχει πρόσωπόν τι φοβερὸν ἐχίδναις κατάκομον, ὅπερ ἐγὼ μάλιστα δέδια· μορμολύττεται γάρ με καὶ φεύγω, ὅταν ἴδω αὐτό.

ΑΦΡ. Ἀλλὰ τὴν μὲν Ἀθηνᾶν δέδιας, ὡς φής, καὶ τὴν Γοργώ, καὶ ταῦτα μὴ φοβηθεὶς τὸν κεραυνὸν τοῦ Διός. αἱ δὲ Μοῦσαι διὰ τί σοι ἄτρωτοι καὶ ἔξω βελῶν εἰσιν; ἢ κἀκεῖναι λόφους ἐπισείουσι καὶ Γοργόνας προφαίνουσιν;

ΕΡ. Αἰδοῦμαι αὐτάς, ὦ μῆτερ· σεμναὶ γάρ εἰσι, καὶ ἀεί τι φροντίζουσι, καὶ περὶ ᾠδὴν ἔχουσι, καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς κηλούμενος ὑπὸ τοῦ μέλους.

ΑΦΡ. Ἔα καὶ ταύτας, ὅτι σεμναί· τὴν δὲ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις;

ΕΡ. Τὸ μὲν ὅλον οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν· εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ.

ΑΦΡ. Τίνος, ὦ τέκνον;

ΕΡ. Θήρας καὶ ἐλάφων καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν· ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίπερ τοξότην καὶ αὐτὸν ὄντα καὶ ἑκηβόλον—

ΑΦΡ. Οἶδα, ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

## 9

## ΠΑΝΟΠΗΣ ΚΑΙ ΓΑΛΗΝΗΣ

ΠΑΝ. Εἶδες, ὦ Γαλήνη, χθὲς οἷα ἐποίησεν ἡ Ἔρις παρὰ τὸ δεῖπνον ἐν Θετταλίᾳ, διότι οὐ καὶ αὐτὴ ἐκλήθη ἐς τὸ συμπόσιον;

ΓΑΛ. Οὐ συνειστιώμην ὑμῖν ἔγωγε· ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ με, ὦ Πανόπη, ἀκύμαντον ἐν τοσούτῳ

[14]

φυλάττειν τὸ πέλαγος. τί δ' οὖν ἐποίησεν ἡ Ἔρις οὐ παροῦσα;

ΠΑΝ. Ἡ Θέτις μὲν ἤδη καὶ ὁ Πηλεὺς ἀπεληλύθεσαν ἐς τὸν θάλαμον, ὑπὸ τῆς Ἀμφιτρίτης καὶ τοῦ Ποσειδῶνος παραπεμφθέντες, ἡ Ἔρις δὲ ἐν τοσούτῳ λαθοῦσα πάντας—ἐδυνήθη δὲ ῥᾳδίως, τῶν μὲν πινόντων, ἐνίων δὲ κροτούντων, ἢ τῷ Ἀπόλλωνι κιθαρίζοντι ἢ ταῖς Μούσαις ᾀδούσαις προσεχόντων τὸν νοῦν—ἐνέβαλεν ἐς τὸ συμπόσιον μῆλόν τι πάγκαλον, χρυσοῦν ὅλον, ὦ Γαλήνη· ἐπεγέγραπτο δὲ "ἡ καλὴ λαβέτω." κυλινδούμενον δὲ τοῦτο, ὥσπερ ἐξεπίτηδες, ἧκεν ἔνθα Ἥρα τε καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ κατεκλίνοντο. κἀπειδὴ ὁ Ἑρμῆς ἀνελόμενος ἀνεγίγνωσκε τὰ γεγραμμένα, αἱ μὲν Νηρηΐδες ἡμεῖς ἀπεσιωπήσαμεν—τί γὰρ ἔδει ποιεῖν ἐκείνων παρουσῶν;—αἱ δὲ ἀντεποιοῦντο ἑκάστη, καὶ αὑτῆς εἶναι τὸ μῆλον ἠξίουν, καὶ εἰ μή γε ὁ Ζεὺς διέστησεν αὐτάς, καὶ ἄχρι χειρῶν ἂν τὸ πρᾶγμα προὐχώρησεν. ἀλλ' ἐκεῖνος, Αὐτὸς μὲν οὐ κρινῶ, φησί, περὶ τούτου,—καίτοι ἐκεῖναι αὐτὸν δικάσαι ἠξίουν—ἄπιτε δὲ ἐς τὴν Ἴδην παρὰ τὸν Πριάμου παῖδα, ὃς οἶδέ τε διαγνῶναι τὸ κάλλιστον φιλόκαλος ὤν, καὶ οὐκ ἂν ἐκεῖνος κρίναι κακῶς.

ΓΑΛ. Τί οὖν αἱ θεαί, ὦ Πανόπη;

ΠΑΝ. Τήμερον, οἶμαι, ἀπίασιν εἰς τὴν Ἴδην, καί τις ἥξει μετὰ μικρὸν ἀπαγγέλλων ἡμῖν τὴν κρατοῦσαν.

ΓΑΛ. Ἤδη σοί φημι, οὐκ ἄλλη κρατήσει τῆς Ἀφροδίτης ἀγωνιζομένης, ἢν μὴ πάνυ ὁ διαιτητὴς ἀμβλυώττῃ.

[15]

# 10

## ΘΕΩΝ ΚΡΙΣΙΣ

### ΖΕΥΣ, ΕΡΜΗΣ, ΗΡΑ, ΑΘΗΝΑ, ΑΦΡΟΔΙΤΗ, ΠΑΡΙΣ Η ΑΛΕΞΑΝΔΡΟΣ

ΖΕΥΣ. Ἑρμῆ, λαβὼν τουτὶ τὸ μῆλον ἄπιθι ἐς τὴν Φρυγίαν παρὰ τὸν Πριάμου παῖδα τὸν βουκόλον—νέμει δὲ τῆς Ἴδης ἐν τῷ Γαργάρῳ—καὶ λέγε πρὸς αὐτόν, ὅτι σέ, ὦ Πάρι, κελεύει ὁ Ζεύς, ἐπειδὴ καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ τοιαῦτα, δικάσαι ταῖς θεαῖς, ἥτις αὐτῶν ἡ καλλίστη ἐστί· τοῦ δὲ ἀγῶνος τὸ ἆθλον ἡ νικῶσα λαβέτω τὸ μῆλον. ὥρα δὲ ἤδη καὶ ὑμῖν αὐταῖς ἀπιέναι παρὰ τὸν δικαστήν· ἐγὼ γὰρ ἀπωθοῦμαι τὴν δίαιταν, ἅτ' ἐπ' ἴσης ὑμᾶς ἀγαπῶν, καὶ εἴ γε οἷόν τε ἦν, ἡδέως ἂν ἁπάσας νενικηκυίας εἶδον. καὶ δὴ καὶ ἀνάγκη, μιᾷ τὸ καλλιστεῖον ἀποδόντα, πάντως ἀπεχθάνεσθαι ταῖς πλείοσι. διὰ ταῦτα μὲν αὐτὸς οὐκ ἐπιτήδειος ὑμῖν δικαστής, ὁ δὲ νεανίας ὁ Φρύξ, ἐφ' ὃν ἄπιτε, βασιλικὸς μέν ἐστι καὶ Γανυμήδους τούτου συγγενής, τἆλλα δὲ ἀφελὴς καὶ ὄρειος· οὐκ ἄν τις αὐτὸν ἀπαξιώσειε τοιαύτης θέας.

ΑΦΡ. Ἐγὼ μέν, ὦ Ζεῦ, εἰ καὶ τὸν Μῶμον αὐτὸν ἐπιστήσειας ἡμῖν δικαστήν, θαρροῦσα βαδιοῦμαι πρὸς τὴν ἐπίδειξιν· τί γὰρ ἂν καὶ μωμήσαιτό μου; χρὴ δὲ καὶ ταύταις ἀρέσκειν τὸν ἄνθρωπον.

ΗΡΑ. Οὐδ' ἡμεῖς, ὦ Ἀφροδίτη, δέδιμεν, οὐδ' ἐὰν ὁ Ἄρης ὁ σὸς ἐπιτραπῇ τὴν δίαιταν· ἀλλὰ δεχόμεθα καὶ τοῦτον, ὅστις ἐστί, τὸν Πάριν.

[16]

ΖΕΥΣ. Ἦ καὶ σοὶ ταῦτα, ὦ θύγατερ, συνδοκεῖ; τί φής; ἀποστρέφῃ καὶ ἐρυθριᾷς; ἔστι μὲν ἴδιον τὸ αἰδεῖσθαι τά γε τοιαῦτα ὑμῶν τῶν παρθένων· ἐπινεύεις δὲ ὅμως. ἄπιτε οὖν καὶ ὅπως μὴ χαλεπανεῖτε τῷ δικαστῇ αἱ νενικημέναι, μηδὲ κακὸν ἐντρίψεσθε τῷ νεανίσκῳ· οὐ γὰρ οἷόν τε ἐπ' ἴσης πάσας εἶναι καλάς.

ΕΡΜ. Προΐωμεν εὐθὺ τῆς Φρυγίας, ἐγὼ μὲν ἡγούμενος, ὑμεῖς δὲ μὴ βραδέως ἀκολουθεῖτέ μοι, καὶ θαρρεῖτε· οἶδα ἐγὼ τὸν Πάριν· νεανίας ἐστὶ καλὸς καὶ τὰ τοιαῦτα κρίνειν ἱκανώτατος· οὐκ ἂν ἐκεῖνος δικάσειε κακῶς.

ΑΦΡ. Τοῦτο μὲν ἅπαν ἀγαθὸν καὶ πρὸς ἐμοῦ λέγεις, τὸ δίκαιον ἡμῖν εἶναι τὸν δικαστήν· πότερα δὲ ἄγαμός τίς ἐστιν οὗτος, ἢ καὶ γυνή τις αὐτῷ σύνεστιν;

ΕΡΜ. Οὐ παντελῶς ἄγαμος, ὦ Ἀφροδίτη.

ΑΦΡ. Πῶς λέγεις;

ΕΡΜ. Δοκεῖ τις αὐτῷ συνοικεῖν Ἰδαία γυνή, ἱκανὴ μέν, ἀγροῖκος δὲ καὶ δεινῶς ὄρειος, ἀλλ' οὐ σφόδρα προσέχειν αὐτῇ ἔοικε. τίνος δ' οὖν ἕνεκα ταῦτα ἐρωτᾷς;

ΑΦΡ. Ἄλλως ἠρόμην.

ΑΘ. Ἀδικεῖς, ὦ οὗτος, ἰδίᾳ ταύτῃ κοινολογούμενος.

ΕΡΜ. Οὐδέν, ὦ Ἀθηνᾶ, δεινὸν οὐδὲ καθ' ὑμῶν, ἀλλ' ἤρετό με εἰ ἄγαμος ὁ Πάρις ἐστίν.

ΑΘ. Ὡς δὴ τί τοῦτο πολυπραγμονοῦσα;

ΕΡΜ. Οὐκ οἶδα· φησὶ δ' οὖν ὅτι ἄλλως, οὐκ ἐξεπίτηδες ἤρετο.

ΑΘ. Τί οὖν; ἄγαμός ἐστιν;

ΕΡΜ. Οὐ δοκεῖ.

[17]

ΑΘ. Τί δαί; τῶν πολεμικῶν ἐστιν αὐτῷ ἐπιθυμία, καὶ φιλόδοξός τις ἢ τὸ πᾶν βουκόλος;

ΕΡΜ. Τὸ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, εἰκάζειν δὲ χρὴ νέον ὄντα καὶ τούτων ὀρέγεσθαι τυχεῖν, καὶ βούλεσθαι ἂν πρῶτον αὐτὸν εἶναι κατὰ τὰς μάχας.

ΑΦΡ. Ὁρᾷς; οὐδὲν ἐγὼ μέμφομαι, οὐδὲ ἐγκαλῶ σοι τὸ πρὸς ταύτην ἰδίᾳ λαλεῖν· μεμψιμοίρων γὰρ καὶ οὐκ Ἀφροδίτης τὰ τοιαῦτα.

ΕΡΜ. Καὶ αὕτη σχεδὸν ταὐτά με ἤρετο· διὸ μὴ χαλεπῶς ἔχε μηδ' οἴου μειονεκτεῖν, εἴ τι καὶ ταύτῃ κατὰ τὸ ἁπλοῦν ἀπεκρινάμην. ἀλλὰ μεταξὺ λόγων ἤδη πολὺ προϊόντες, πολὺ ἀπέχομεν τῶν ἀστέρων, καὶ σχεδόν γε κατὰ τὴν Φρυγίαν ἐσμέν. ἐγὼ δὲ καὶ τὴν Ἴδην ὁρῶ καὶ τὸ Γάργαρον ὅλον ἀκριβῶς, εἰ δὲ μὴ ἐξαπατῶμαι, καὶ αὐτὸν ὑμῶν τὸν δικαστὴν τὸν Πάριν.

ΗΡΑ. Ποῦ δέ ἐστιν; οὐ γὰρ κἀμοὶ φαίνεται.

ΕΡΜ. Ταύτῃ, ὦ Ἥρα, πρὸς τὰ λαιὰ περισκόπει, μὴ πρὸς ἄκρῳ τῷ ὄρει, παρὰ δὲ τὴν πλευράν, οὗ τὸ ἄντρον, ἔνθα τὴν ἀγέλην ὁρᾷς.

ΗΡΑ. Ἀλλ' οὐχ ὁρῶ τὴν ἀγέλην.

ΕΡΜ. Πῶς φής; οὐχ ὁρᾷς βοίδια κατὰ τὸν ἐμὸν οὑτωσὶ δάκτυλον, ἐκ μέσων τῶν πετρῶν προϊόντα, καί τινα ἐκ τοῦ σκοπέλου καταθέοντα, καλαύροπα ἔχοντα, καὶ ἀνείργοντα μὴ πρόσω διασκίδνασθαι τὴν ἀγέλην;

ΗΡΑ. Ὁρῶ νῦν, εἴ γε ἐκεῖνός ἐστιν.

ΕΡΜ. Ἀλλ' ἐκεῖνος. ἐπειδὴ δὲ πλησίον ἤδη ἐσμέν, ἐπὶ τῆς γῆς, εἰ δοκεῖ, καταστάντες βαδίζωμεν,

ἵνα μὴ διαταράξωμεν αὐτὸν ἄνωθεν ἐξ ἀφανοῦς καθιπτάμενοι.

ΗΡΑ. Εὖ λέγεις, καὶ οὕτω ποιῶμεν. ἐπεὶ δὲ καταβεβήκαμεν, ὥρα σοι, ὦ Ἀφροδίτη, προϊέναι καὶ ἡγεῖσθαι ἡμῖν τῆς ὁδοῦ· σὺ γὰρ ὡς τὸ εἰκὸς ἔμπειρος εἶ τοῦ χωρίου, πολλάκις, ὡς λόγος, κατελθοῦσα πρὸς Ἀγχίσην.

ΑΦΡ. Οὐ σφόδρα, ὦ Ἥρα, τούτοις ἄχθομαι τοῖς σκώμμασιν.

ΕΡΜ. Ἀλλ' ἐγὼ ὑμῖν ἡγήσομαι· καὶ γὰρ αὐτὸς ἐνδιέτριψα τῇ Ἴδῃ, καὶ πολλάκις δεῦρο ἦλθον ἐς ἐπισκοπὴν τοῦ Γανυμήδους, καί ὁπότε γε ἤδη ὁ Ζεύς ἐν τῷ ἀετῷ ἦν, σνμπαρεπετόμην αὐτῷ καὶ συνεκούφιζον, καὶ εἴ γε μέμνημαι, ἀπὸ ταυτησὶ τῆς πέτρας αὐτὸν ἀνήρπασεν· ὁ μὲν γὰρ ἔτυχε τότε συρίζων πρὸς τὸ ποίμνιον· καταπτάμενος δὲ ὄπισθεν αὐτὸς ὁ Ζεύς, κούφως μάλα τοῖς ὄνυξι περιβαλών, καὶ τῷ στόματι τὴν ἐπὶ τῇ κεφαλῇ τιάραν ἔχων, ἀνέφερε τὸν παῖδα τεταραγμένον, καὶ τῷ τραχήλῳ ἀπεστραμμένῳ ἐς αὐτὸν ἀποβλέποντα. τότε οὖν ἐγὼ τὴν σύριγγα λαβὼν—ἀποβεβλήκει γὰρ αὐτὴν ὑπὸ τοῦ δέους——ἀλλὰ γὰρ ὁ διαιτητὴς οὑτοσὶ πλησίον, ὥστε προσείπωμεν αὐτόν. χαῖρε, ὦ βουκόλε.

ΠΑΡ. Καὶ σύ γε, ὦ νεανίσκε. τίς δὲ ὢν δεῦρο ἀφῖξαι πρὸς ἡμᾶς; ἢ τίνας ταύτας ἄγεις τὰς γυναῖκας; οὐ γὰρ ἐπιτήδειαι ὲν ὄρεσι πλανᾶσθαι, οὕτω γε οὖσαι καλαί.

ΕΡΜ. Ἀλλ' οὐ γυναῖκές εἰσιν, Ἥραν δέ, ὦ Πάρι, καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην ὁρᾷς, κἀμὲ τὸν Ἑρμῆν ὁ

[19]

Ζεὺς ἀπέστειλεν. ἀλλὰ τί τρέμεις καὶ ὠχριᾷς; μὴ δέδιθι· χαλεπὸν γὰρ οὐδέν· κελεύει δέ σε δικαστὴν γενέσθαι τοῦ κάλλους αὐτῶν· Ἐπεὶ γάρ, φησί, καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ τοιαῦτα, σοὶ τὴν γνῶσιν ἐπιτρέπω, τοῦ δὲ ἀγῶνος τὸ ἆθλον εἴσῃ ἀναγνοὺς τὸ μῆλον.

ΠΑΡ. Φέρ ἴδω τί καὶ βούλεται. Ἡ ΚΑΛΗ, φησί, ΛΑΒΕΤΩ. πῶς ἂν οὖν, ὦ δέσποτα Ἑρμῆ, δυνηθείην ἐγώ, θνητὸς αὐτὸς καὶ ἀγροῖκος ὤν, δικαστὴς γενέσθαι παραδόξου θέας καὶ μείζονος ἢ κατὰ βουκόλον; τὰ γὰρ τοιαῦτα κρίνειν τῶν ἁβρῶν μᾶλλον καὶ ἀστικῶν· τὸ δὲ ἐμόν, αἶγα μὲν αἰγὸς ὁποτέρα καλλίων, καὶ δάμαλιν ἄλλης δαμάλεως, τάχ' ἂν δικάσαιμι κατὰ τὴν τέχνην. αὗται δὲ πᾶσαί τε ὁμοίως καλαί, καὶ οὐκ οἶδ' ὅπως ἄν τις ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μεταγάγοι τὴν ὄψιν ἀποσπάσας· οὐ γὰρ ἐθέλει ἀφίστασθαι ῥᾳδίως, ἀλλ' ἔνθα ἂν ἀπερεισθῇ τὸ πρῶτον, τούτου ἔχεται, καὶ τὸ παρὸν ἐπαινεῖ· κἂν ἐπ' ἄλλο μεταβῇ, κἀκεῖνο καλὸν ὁρᾷ, καὶ παραμένει, καὶ ὑπὸ τῶν πλησίον παραλαμβάνεται, καὶ ὅλως περικέχυταί μοι τὸ κάλλος αὐτῶν και ὅλον περιείληφέ με καὶ ἄχθομαι, ὅτι μὴ καὶ αὐτὸς ὥσπερ ὁ Ἄργος ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. δοκῶ δ' ἄν μοι καλῶς δικάσαι πάσαις ἀποδοὺς τὸ μῆλον. καὶ γὰρ αὖ καὶ τάδε, ταύτην μὲν εἶναι συμβέβηκε τοῦ Διὸς ἀδελφὴν καὶ γυναῖκα, ταύτας δὲ θυγατέρας· πῶς οὖν οὐ χαλεπὴ καὶ οὕτως ἡ κρίσις;

ΕΡΜ. Οὐκ οἶδα· πλὴν οὐχ οἷόν τε ἀναδῦναι, πρὸς τοῦ Διὸς κεκελευσμένον.

ΠΑΡ. Ἓν τοῦτο, ὦ Ἑρμῆ, πεῖσον αὐτάς, μὴ χαλεπῶς

[20]

ἔχειν μοι τὰς δύο τὰς νενικημένας, ἀλλὰ μόνων τῶν ὀφθαλμῶν ἡγεῖσθαι τὴν ἁμαρτίαν.

ΕΡΜ. Οὕτω φασὶ ποιήσειν· ὥρα δέ σοι ἤδη περαίνειν τὴν κρίσιν.

ΠΑΡ. Πειρασόμεθα· τί γὰρ ἂν καὶ πάθοι τις;

ΑΘ. Μὴ πρότερον σκέψῃ ταύτην, ὦ Πάρι, πρὶν ἂν τὸν κεστὸν ἀπόθηται—φαρμακὶς γάρ ἐστι—μή σε καταγοητεύσῃ δι' αὐτοῦ· καίτοι γε ἐχρῆν μηδὲ οὕτω κεκαλλωπισμένην παρεῖναι μηδὲ τοσαῦτα ἐντετριμμένην χρώματα, ἀλλὰ μόνον τὸ κάλλος ἐπιδεικνύειν.

ΠΑΡ. Εὖ λέγουσι τὸ περὶ τοῦ κεστοῦ, καὶ ἀπόθου.

ΑΦΡ. Τί οὖν οὐχὶ καὶ σύ, ὦ Ἀθηνᾶ, τὴν κόρυν ἀφελοῦσα ψιλὴν τὴν κεφαλὴν ἐπιδεικνύς, ἀλλ' ἐπισείεις τὸν λόφον καὶ τὸν δικαστὴν φοβεῖς; ἢ δέδιας μή σοι ἐλέγχηται τὸ γλαυκὸν τῶν ὀμμάτων ἄνευ τοῦ φοβεροῦ βλεπόμενον;

ΑΘ. Ἰδού σοι ἡ κόρυς αὕτη ἀφῄρηται.

ΑΦΡ. Ἰδοὺ καί σοι ὁ κεστός.

ΠΑΡ. Ὦ Ζεῦ τεράστιε, τῆς θέας, τοῦ κάλλους, τῆς ἡδονῆς. οἵα μὲν ἡ παρθένος, ὡς δὲ βασιλικὸν αὕτη καὶ σεμνὸν ἀπολάμπει καὶ ἀληθῶς ἄξιον τοῦ Διός, ὡς δὲ ὁρᾷ ἥδε ἡδέως, καὶ γλαφυρόν τι καὶ προσαγωγὸν ἐμειδίασεν—ἀλλ' ἤδη μὲν ἅλις ἔχω τῆς εὐδαιμονίας· εἰ δοκεῖ δέ, καὶ ἰδίᾳ καθ' ἑκάστην ἐπιδεῖν βούλομαι, ὡς νῦν γε ἀμφίβολός εἰμι, καὶ οὐκ οἶδα πρὸς ὅ τι ἀποβλέψω, πάντῃ τὰς ὄψεις περισπώμενος.

ΑΦΡ. Οὕτω ποιῶμεν.

ΠΑΡ. Ἄπιτε οὖν αἱ δύο· σὺ δέ, ὦ Ἥρα, περίμενε.

ΗΡΑ. Περιμενῶ, κἀπειδάν με ἀκριβῶς ἴδῃς, ὥρα

σοι καὶ ἄλλα ἤδη σκοπεῖν, εἰ καλά σοι καὶ τὰ δῶρα τῆς ψήφου τῆς ἐμῆς· ἢν γάρ με, ὦ Πάρι, δικάσῃς εἶναι καλήν, ἁπάσης ἔσῃ τῆς Ἀσίας δεσπότης.

ΠΑΡ. Οὐκ ἐπὶ δώροις μὲν τὰ ἡμέτερα. ἀλλ' ἄπιθι· πεπράξεται γὰρ ἅπερ ἂν δοκῇ. σὺ δὲ πρόσιθι ἡ Ἀθηνᾶ.

ΑΘ. Παρέστηκά σοι, κᾆτα ἤν με, ὦ Πάρι, δικάσῃς καλήν, οὔποτε ἥττων ἄπει ἐκ μάχης, ἀλλ' ἀεὶ κρατῶν· πολεμιστὴν γάρ σε καὶ νικηφόρον ἀπεργάσομαι.

ΠΑΡ. Οὐδέν, ὦ Ἀθηνᾶ, δεῖ μοι πολέμου καὶ μάχης· εἰρήνη γάρ, ὡς ὁρᾷς, τὰ νῦν ἐπέχει τὴν Φρυγίαν τε καὶ Λυδίαν καὶ ἀπολέμητος ἡμῖν ἡ τοῦ πατρὸς ἀρχή. θάρρει δέ· οὐ μειονεκτήσεις γάρ, κἂν μὴ ἐπὶ δώροις δικάζωμεν. ἀλλ' ἐπίθου τὴν κόρυν· ἱκανῶς γὰρ εἶδον. τὴν Ἀφροδίτην παρεῖναι καιρός.

ΑΦΡ. Αὕτη σοι ἐγὼ πλησίον, καὶ σκόπει καθ' ἓν ἀκριβῶς. εἰ δ' ἐθέλεις, ὦ καλέ, καὶ τάδε μου ἄκουσον· ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα καὶ καλόν, ὁποῖον οὐκ οἶδ' εἴ τινα ἕτερον ἡ Φρυγία τρέφει, μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι δὲ τὸ μὴ ἀπολιπόντα τοὺς σκοπέλους καὶ ταυτασὶ τὰς πέτρας κατ' ἄστυ ζῆν, ἀλλὰ διαφθείρειν τὸ κάλλος ἐν ἐρημίᾳ. τί μὲν γὰρ ἂν σὺ ἀπολαύσειας τῶν ὀρῶν; τί δ' ἂν ἀπόναιντο τοῦ σοῦ κάλλους αἱ βόες; ἔπρεπε δὲ ἤδη σοι καὶ γεγαμηκέναι, μὴ μέντοι ἄγροικόν τινα καὶ χωρῖτιν, οἷαι κατὰ τὴν Ἴδην αἱ γυναῖκες, ἀλλά τινα ἐκ τῆς Ἑλλάδος ἢ Ἀργόθεν ἢ ἐκ Κορίνθου ἢ Λάκαιναν, οἵαπερ ἡ Ἑλένη ἐστίν, νέα τε καὶ καλὴ καὶ κατ' οὐδὲν ἐλάττων ἐμοῦ, καὶ τὸ δὴ μέγιστον, ἐρωτική· ἐκείνη γὰρ δή, εἰ καὶ μόνον θεάσαιτό

σε, οἶδα ἐγὼ ὅτι πάντα ἀπολιποῦσα ἕψεταί σοι. πάντως δὲ καὶ σὺ ἀκήκοάς τι περὶ αὐτῆς.

ΠΑΡ. Οὐδέν, ὦ Ἀφροδίτη· νῦν δὲ ἡδέως ἂν ἀκούσαιμί σου τὰ πάντα διηγουμένης.

ΑΦΡ. Αὕτη θυγάτηρ μέν ἐστι Λήδας, ἐκείνης τῆς καλῆς, ἐφ' ἣν ὁ Ζεὺς κατέπτη κύκνος γενόμενος.

ΠΑΡ. Ποία δὲ τὴν ὄψιν ἐστί;

ΑΦΡ. Λευκὴ μέν, οἵαν εἰκὸς ἐκ κύκνου γεγεννημένην, ἁπαλὴ δέ, ὡς ἐν ᾠῷ τραφεῖσα, γυμνὰς τὰ πολλὰ καὶ παλαιστική, καὶ οὕτω δή τι περισπούδαστος ὥστε καὶ πόλεμον ἀμφ' αὐτῇ γενέσθαι, τοῦ Θησέως ἄωρον ἔτι ἁρπάσαντος. οὐ μὴν ἀλλ', ἐπειδήπερ ἐς ἀκμὴν κατέστη, πάντες οἱ ἄριστοι τῶν Ἀχαιῶν ἐπὶ τὴν μνηστείαν ἀπήντησαν, προεκρίθη δὲ Μενέλεως τοῦ Πελοπιδῶν γένους· εἰ δὴ θέλοις, ἐγώ σοι καταπράξομαι τὸν γάμον.

ΠΑΡ. Πῶς φής; τὸν τῆς γεγαμημένης;

ΑΦΡ. Νέος εἶ σὺ καὶ ἄγροικος, ἐγὼ δὲ οἶδα ὡς χρὴ τὰ τοιαῦτα δρᾶν.

ΠΑΡ. Πῶς; ἐθέλω γὰρ καὶ αὐτὸς εἰδέναι.

ΑΦΡ. Σὺ μὲν ἀποδημήσεις ὡς ἐπὶ θέαν δὴ τῆς Ἑλλάδος, κἀπειδὰν ἀφίκῃ ἐς τὴν Λακεδαίμονα, ὄψεταί σε ἡ Ἑλένη, τοὐντεῦθεν δὲ ἐμὸν ἂν εἴη τὸ ἔργον, ὅπως ἐρασθήσεταί σου καὶ ἀκολουθήσει.

ΠΑΡ. Τοῦτο αὐτὸ καὶ ἄπιστον εἶναί μοι δοκεῖ, τὸ ἀπολιποῦσαν τὸν ἄνδρα ἐθελῆσαι βαρβάρῳ καὶ ξένῳ συνεκπλεῦσαι.

ΑΦΡ. Θάρρει τούτου γε ἕνεκα.

ΠΑΡ. Ὅπως μὲν ταῦτα χωρήσει, ἄδηλον, ὦ Ἀφροδίτη·

[23]

πλὴν ἐρῶ γε ἤδη τῆς Ἑλένης, καὶ οὐκ οἶδ' ὅπως καὶ ὁρᾶν αὐτὴν οἴομαι, καὶ πλέω εὐθὺ τῆς Ἑλλάδος, καὶ τῇ Σπάρτῃ ἐπιδημῶ, καὶ ἐπάνειμι ἔχων τὴν γυναῖκα, καὶ ἄχθομαι, ὅτι οὐ ταῦτα ἤδη πάντα ποιῶ.

ΑΦΡ. Μὴ πρότερον ἐρασθῇς, ὦ Πάρι, πρὶν ἐμὲ τὴν προμνήστριαν καὶ νυμφαγωγὸν ἀμείψασθαι τῇ κρίσει· πρέποι γὰρ ἂν κἀμὲ νικηφόρον ὑμῖν συμπαρεῖναι, καὶ ἑορτάζειν ἅμα καὶ τοὺς γάμους καὶ τὰ ἐπινίκια· πάντα γὰρ ἔνεστί σοι, τὸν ἔρωτα, τὸ κάλλος, τὸν γάμον, τούτου τοῦ μήλου πρίασθαι.

ΠΑΡ. Δέδοικα, μή μου ἀμελήσῃς μετὰ τὴν κρίσιν.

ΑΦΡ. Βούλει οὖν ἐπομόσωμαι;

ΠΑΡ. Μηδαμῶς, ἀλλὰ ὑπόσχου πάλιν.

ΑΦΡ. Ὑπισχνοῦμαι δή σοι τὴν Ἑλένην παραδώσειν γυναῖκα, καὶ ἀκολουθήσειν γε αὐτὴν, καὶ ἀφίξεσθαι παρ' ὑμᾶς ἐς τὴν Ἴλιον, καὶ αὐτὴ παρέσομαι καὶ συμπράξω τὰ πάντα.

ΠΑΡ. Οὐκοῦν ἐπὶ τούτοις δίδωμι τὸ μῆλον, ἐπὶ τούτοις λάμβανε.

## 11

## ΑΡΕΩΣ ΚΑΙ ΕΡΜΟΥ

ΑΡ. Ἤκουσας, ὦ Ἑρμῆ, οἶα ἠπείλησεν ἡμῖν ὁ Ζεύς, ὡς ὑπεροπτικὰ καὶ ὡς ἀπίθανα; Ἢν ἐθελήσω, φησίν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δὲ ἀποκρεμασθέντες κατασπᾶν βιάσεσθέ με, ἀλλὰ μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ

τὴν θάλατταν συναρτήσας μετεωριῶ· καὶ τἆλλα ὅσα καὶ σὺ ἀκήκοας. ἐγὼ δὲ ὅτι μὲν καθ' ἕνα πάντων ἀμείνων καὶ ἰσχυρότερός ἐστιν οὐκ ἂν ἀρνηθείην, ὁμοῦ δὲ τοσούτων ὑπερφέρειν, ὡς μὴ καταπονήσειν αὐτόν, κἂν τὴν γῆν κἂν τὴν θάλατταν προσλάβωμεν, οὐκ ἂν πεισθείην.

ΕΡΜ. Εὐφήμει, ὦ Ἄρες· οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας.

ΑΡ. Οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, ἀλλ' οὐχὶ πρὸς μόνον σέ, ὃν στέγειν τἀπόρρητα ἠπιστάμην; ὃ δ' οὖν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ· μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν καὶ ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες ἐπεβούλευον συνδῆσαι λαβόντες αὐτόν, ὡς παντοῖος ἦν δεδιώς, καὶ ταῦτα τρεῖς ὄντας, καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο ἄν, αὐτῷ κεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ ἐπῄει μοι γελᾶν ἐπὶ τοῖς κόμποις αὐτοῦ.

ΕΡΜ. Σιώπα, φημί· οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν οὔτ' ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

## 12

## ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ

ΖΕΥΣ. Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε· ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξεν ἐγγὺς τῆς γῆς φερόμενος, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε, πολὺ

[25]

αὐτῶν ἀποκομίσας το πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ συνετάραξε καὶ ξυνέχεε, καὶ εἰ μὴ ἐγὼ, συνεὶς τὸ γιγνόμενον, κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ἐπέμεινεν ἄν· τοιοῦτον ἡμῖν ἡνίοχον τὸν καλὸν ἐκεῖνον καὶ διφρηλάτην ἐκπέπομφας.

ΗΛ. Ἥμαρτον, ὦ Ζεῦ, ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;

ΖΕΥΣ. Οὐκ ᾔδησθα, ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα, καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμόν, ὡς δεῖ συνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, φέρονται εὐθύς, ὥσπερ καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν ἐπὶ τὰ λαιά, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιά, καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω, ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο αὐτοῖς.

ΗΛ. Πάντα μὲν ἠπιστάμην ταῦτα, καὶ διὰ τοῦτο ἀντεῖχον ἐπὶ πολύ, καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων, καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβάσας ἐπὶ τὸ ἅρμα, ὑπεθέμην, ὅπως μὲν χρὴ βεβηκέναι αὐτόν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεχθῆναι, εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν, καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν καὶ μὴ ἐφιέναι τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι· ὁ δὲ—παῖς γὰρ ἦν—ἐπιβὰς τοσούτου πυρός, καὶ ἐπικύψας ἐς βάθος τοσοῦτον ἐξεπλάγη, ὡς τὸ εἰκός· οἱ δὲ ἵπποι ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου

ἐξετράποντο τῆς ὁδοῦ, καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν· ὁ δὲ τὰς ἡνίας ἀφείς, οἶμαι δεδιὼς μὴ ἐκπέσῃ αὐτός, εἴχετο τῆς ἄντυγος. ἀλλὰ ἐκεῖνός τε ἤδη δέδωκε τὴν δίκην, κἀμοί, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος.

ΖΕΥΣ. Ἱκανὸν λέγεις, τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἔχω σοι, ἐς δὲ τὸ λοιπόν, ἤν τι ὅμοιον παρανομήσῃς ἤ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ, ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος. ὥστε ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτόντων ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκ τοῦ δίφρου ἐκπεσών, ἤλεκτρον ἐπ' αὐτῷ δακρύουσαι, καὶ αἴγειροι γενέσθων ἐπὶ τῷ πάθει, σὺ δὲ συμπηξάμενος τὸ ἅρμα—κατέαγε δὲ καὶ ὁ ῥυμὸς αὐτοῦ καὶ ἅτερος τῶν τροχῶν συντέτριπται—ἔλαυνε ὑπαγαγὼν τοὺς ἵππους. ἀλλὰ μέμνησο τούτων ἁπάντων.

## 13

## ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ

ΑΠ. Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ Κάστωρ ἐστὶ τούτων καὶ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς.

ΕΡΜ. Ὁ μὲν χθὲς ἡμῖν συγγενόμενος ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυδεύκης.

ΑΠ. Πῶς διαγινώσκεις; ὅμοιοι γάρ.

ΕΡΜ. Ὅτι οὗτος μέν, ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων, ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων, καὶ μάλιστα ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη τῷ Ἰάσονι συμπλέων· ἅτερος

[27]

δὲ οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι καὶ ἀπαθὴς τὸ πρόσωπον.

ΑΠ. Ὤνησας διδάξας τὰ γνωρίσματα, ἐπεὶ τά γε ἄλλα πάντα ἴσα, τοῦ ᾠοῦ τὸ ἡμίτομον καὶ ἀστὴρ ἄνωθε καὶ ἀκόντιον ἐν τῇ χειρὶ καὶ ἵππος ἑκατέρῳ λευκός, ὥστε πολλάκις ἐγὼ τὸν μὲν προσεῖπον Κάστορα Πολυδεύκην ὄντα, τὸν δὲ τῷ τοῦ Πολυδεύκους ὀνόματι. ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω σύνεισιν ἡμῖν, ἀλλ' ἐξ ἡμισείας ἄρτι μὲν νεκρός, ἄρτι δὲ θεός ἐστιν ἅτερος αὐτῶν;

ΕΡΜ. Ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕτερον μὲν τεθνάναι τῶν Λήδας υἱέων, ἕτερον δὲ ἀθάνατον εἶναι, ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν.

ΑΠ. Οὐ συνετήν, ὦ Ἑρμῆ, τὴν νομήν, οἵ γε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα· πῶς γάρ, ὁ μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς νεκροῖς ὤν; πλὴν ἀλλ' ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις παιδοτρίβης ἄριστος ὤν, καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην, οὗτοι δὲ τί ποιήσουσιν ἡμῖν; ἢ ἀργοὶ εὐωχήσονται τηλικοῦτοι ὄντες;

ΕΡΜ. Οὐδαμῶς, ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι καὶ καθιππάζεσθαι δεῖ τὸ πέλαγος, καὶ ἐάν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον σῴζειν τοὺς ἐμπλέοντας.

ΑΠ. Ἀγαθήν, ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

# ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ

## 1

## ΔΩΡΙΔΟΣ ΚΑΙ ΓΑΛΑΤΕΙΑΣ

ΔΩΡ. Καλὸν ἐραστήν, ὦ Γαλάτεια, τὸν Σικελὸν τοῦτον ποιμένα φασὶν ἐπιμεμηνέναι σοί.

ΓΑΛ. Μὴ σκῶπτε, Δωρί· Ποσειδῶνος γὰρ υἱός ἐστιν, ὁποῖος ἂν ᾖ.

ΔΩΡ. Τί οὖν; εἰ καὶ τοῦ Διὸς αὐτοῦ παῖς ὢν ἄγριος οὕτω καὶ λάσιος ἐφαίνετο, καί, τὸ πάντων ἀμορφότατον, μονόφθαλμος, οἴει τὸ γένος ἄν τι ὀνῆσαι αὐτὸν πρὸς τὴν μορφήν;

ΓΑΛ. Οὔτε τὸ λάσιον αὐτοῦ καὶ ἄγριον, ὡς φής, ἄμορφόν ἐστιν—ἀνδρῶδες γάρ—ὅ τε ὀφθαλμὸς ἐπιπρέπει τῷ μετώπῳ οὐδὲν ἐνδεέστερον ὁρῶν ἢ εἰ δύ' ἦσαν.

ΔΩΡ. Ἔοικας, ὦ Γαλάτεια, οὐκ ἐραστὴν ἀλλ' ἐρώμενον ἔχειν τὸν Πολύφημον, οἷα ἐπαινεῖς αὐτόν.

ΓΑΛ. Οὐκ ἐρώμενον, ἀλλὰ τὸ πάνυ ὀνειδιστικὸν τοῦτο οὐ φέρω ὑμῶν, καί μοι δοκεῖτε ὑπὸ φθόνου αὐτὸ ποιεῖν, ὅτι ποιμαίνων ποτέ, ἀπὸ τῆς σκοπῆς παιζούσας ἡμᾶς ἰδὼν ἐπὶ τῆς ᾐόνος, ἐν ταῖς ῥίζαις τῆς Αἴτνης, καθ' ὃ μεταξὺ τοῦ ὄρους καὶ τῆς θαλάττης αἰγιαλὸς ἀπομηκύνεται, ὑμᾶς μὲν οὐδὲ προσέβλεψεν, ἐγὼ δὲ ἐξ ἁπασῶν ἡ καλλίστη ἔδοξα, καὶ μόνῃ ἐμοὶ ἐπεῖχε τὸν ὀφθαλμόν. ταῦτα ὑμᾶς ἀνιᾷ· δεῖγμα γάρ, ὡς ἀμείνων εἰμί, ὑμεῖς δὲ παρώφθητε.

[29]

ΔΩΡ. Εἰ ποιμένι καὶ ἐνδεεῖ τὴν ὄψιν καλὴ ἔδοξας, ἐπίφθονος οἴει γεγονέναι; καίτοι τί ἄλλο ἐν σοὶ ἐπαινέσαι εἶχεν ἢ τὸ λευκὸν μόνον; καὶ τοῦτο, οἶμαι, ὅτι συνήθης ἐστὶ τυρῷ καὶ γάλακτι· πάντα οὖν τὰ ὅμοια τούτοις ἡγεῖται καλά. ἐπεὶ τά γε ἄλλα ὁπόταν ἐθελήσῃς μαθεῖν, οἵα τυγχάνεις οὖσα τὴν ὄψιν, ἀπὸ πέτρας τινός, εἴ ποτε γαλήνη εἴη, ἐπικύψασα ἐς τὸ ὕδωρ ἰδὲ σεαυτὴν οὐδὲν ἄλλο ἢ χρόαν λευκὴν ἀκριβῶς· οὐκ ἐπαινεῖται δὲ τοῦτο, ἢν μὴ ἐπιπρέπῃ αὐτῷ καὶ τὸ ἐρύθημα.

ΓΑΛ. Καὶ μὴν ἐγὼ μὲν ἡ ἀκράτως λευκὴ ὅμως ἐραστὴν ἔχω οἱονδήποτε· ὑμῶν δὲ οὐκ ἔστιν ἥντινα ἢ ποιμὴν ἢ ναύτης ἢ πορθμεὺς ἐπαινεῖ· ὁ δέ γε Πολύφημος τά τε ἄλλα καὶ μουσικός ἐστι.

ΔΩΡ. Σιώπα, ὦ Γαλάτεια· ἠκούσαμεν αὐτοῦ ᾄδοντος ὁπότε ἐκώμασε πρῴην ἐπὶ σέ· Ἀφροδίτη φίλη, ὄνον ἄν τις ὀγκᾶσθαι ἔδοξε. καὶ μὴν αὐτή γε ἡ πηκτὶς οἵα· κρανίον ἐλάφου γυμνὸν τῶν σαρκῶν, καὶ τὰ μὲν κέρατα ὥσπερ πήχεις ἦν, ζυγώσας δὲ αὐτὰ καὶ ἐνάψας τὰ νεῦρα, οὐδὲ κόλλοπι περιστρέψας, ἐμελῴδει ἄμουσόν τι καὶ ἀπῳδόν, ἄλλο μὲν αὐτὸς βοῶν, ἄλλο δὲ τῆς λύρας ὑπηχούσης, ὥστε οὐδὲ κατέχειν τὸν γέλωτα ἐδυνάμεθα ἐπὶ τῷ ἐρωτικῷ ἐκείνῳ ᾄσματι· ἡ μὲν γὰρ Ἠχὼ οὐδὲ ἀποκρίνεσθαι αὐτῷ ἤθελεν βρυχωμένῳ καίπερ οὕτω λάλος οὖσα, ἀλλ' ᾐσχύνετο, εἰ φανείη μιμουμένη τραχεῖαν ᾠδὴν καὶ καταγέλαστον. ἔφερε δὲ ὁ φίλτατος ἐν ταῖς ἀγκάλαις ἀθυρμάτιον ἄρκτου σκύλακα, τὸ λάσιον αὐτῷ προσεοικότα. τίς οὖν οὐκ ἂν φθονήσειέ σοι, ὦ Γαλάτεια, τοιούτου ἐραστοῦ;

ΓΑΛ. Οὐκοῦν σύ, Δωρί, δεῖξον ἡμῖν τὸν σεαυτῆς, καλλίω δήπου ὄντα, καὶ ᾠδικώτερον, καὶ κιθαρίζειν ἄμεινον ἐπιστάμενον.

ΔΩΡ. Ἀλλ' ἐραστὴς μὲν οὐδεὶς ἔστι μοι, οὐδὲ σεμνύνομαι ἔχειν· τοιοῦτος δὲ οἷος ὁ Κύκλωψ ἐστί, ὠμοφάγος, ὥς φασι, καὶ σιτούμενος τοὺς ἐπιδημοῦντας τῶν ξένων, σοὶ γένοιτο καὶ σὺ ἀντερῴης αὐτοῦ.

## 2

## ΚΥΚΛΩΠΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ

ΚΥΚ. Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με κοιμωμένῳ ἐπιχειρήσας.

ΠΟΣ. Τίς δὲ ἦν ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

ΚΥΚ. Τὸ μὲν πρῶτον Οὖτιν αὑτὸν ἀπεκάλει, ἐπεὶ δὲ διέφυγε καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

ΠΟΣ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. ἀλλὰ πῶς ταῦτα ἔπραξεν οὐδὲ πάνυ εὐθαρσὴς ὤν;

ΚΥΚ. Κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας πολλούς τινας, ἐπιβουλεύοντας (δῆλον ὅτι) τοῖς ποιμνίοις· ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα—πέτρα δέ ἐστι παμμεγέθης—καὶ τὸ πῦρ ἀνέκαυσα, ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὑτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβών τινας αὐτῶν, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστάς γε ὄντας. ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε Οὖτις

[31]

εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι, καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο, καὶ οὐκέτι ὅλως ἐν ἐμαυτοῦ ἤμην, τέλος δὲ ἐς ὕπνον ἔπεσον. ὁ δὲ ἀποξύνας τὸν μοχλόν, καὶ πυρώσας γε προσέτι, ἐτύφλωσέ με καθεύδοντα, καὶ ἀπ' ἐκείνου τυφλός εἰμί σοι, ὦ Πόσειδον.

ΠΟΣ. Ὡς βαθὺν ἐκοιμήθης, ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν (εὖ οἶδ' ὅτι) ἠδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

ΚΥΚ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς ῥᾶον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων, τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομήν, ἐντειλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

ΠΟΣ. Μανθάνω· ὑπ' ἐκείνοις ἔλαθον ὑπεξελθόντες· σὲ δὲ τοὺς ἄλλους Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν.

ΚΥΚ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον· ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τοὔνομα, κἀγὼ ἔφην ὅτι Οὖτίς ἐστι, μελαγχολᾶν οἰόμενοί με ᾤχοντο ἀπιόντες. οὕτω ἐξηπάτα με ὁ κατάρατος τῷ ὀνόματι. καὶ τόδε μάλιστα ἠνίασέ με, ὅτι καὶ ὀνειδίζων μοὶ τὴν συμφοράν, Οὐδὲ ὁ πατήρ, φησίν, ὁ Ποσειδῶν ἰάσεταί σε.

ΠΟΣ. Θάρρει, ὦ τέκνον· ἀμυνοῦμαι γὰρ αὐτόν, ὡς μάθῃ, ὅτι καὶ εἰ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων, τό τε σῴζειν αὐτοὺς καὶ ἀπολλύναι, ἐπ' ἐμοί ἐστι· πλεῖ δὲ ἔτι.

## 3

## ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΑΛΦΕΙΟΥ

ΠΟΣ. Τί τοῦτο, Ἀλφειέ; μόνος τῶν ἄλλων ἐμπεσὼν ἐς τὸ πέλαγος οὔτε ἀναμείγνυσαι τῇ ἅλμῃ, ὡς ἔθος ποταμοῖς ἅπασιν, οὔτε ἀναπαύεις σεαυτὸν διαχυθείς, ἀλλὰ διὰ τῆς θαλάττης συνεστὼς καὶ γλυκὺ φυλάττων τὸ ῥεῖθρον, ἀμιγὴς ἔτι καὶ καθαρὸς ἐπείγῃ οὐκ οἶδα ὅπου βύθιος ὑποδύς, καθάπερ οἱ λάροι καὶ ἐρῳδιοί; καὶ ἔοικας ἀνακύψειν που καὶ αὖθις ἀναφανεῖν σεαυτόν.

ΑΛΦ. Ἐρωτικόν τι τὸ πρᾶγμά ἐστιν, ὦ Πόσειδον, ὥστε μὴ ἔλεγχε· ἠράσθης δὲ καὶ αὐτὸς πολλάκις.

ΠΟΣ. Γυναικός, ὦ Ἀλφειέ, ἢ νύμφης ἐρᾷς ἢ καὶ τῶν Νηρηΐδων αὐτῶν μιᾶς;

ΑΛΦ. Οὔκ, ἀλλὰ πηγῆς, ὦ Πόσειδον.

ΠΟΣ. Ἡ δὲ ποῦ σοι γῆς ῥεῖ;

ΑΛΦ. Νησιῶτίς ἐστι Σικελή· Ἀρέθουσαν αὐτὴν καλοῦσιν.

ΠΟΣ. Οἶδα οὐκ ἄμορφον, ὦ Ἀλφειέ, τὴν Ἀρέθουσαν, ἀλλὰ διαυγής τέ ἐστι καὶ διὰ καθαροῦ ἀναβλύζει καὶ τὸ ὕδωρ ἐπιπρέπει ταῖς ψηφῖσιν ὅλον ὑπὲρ αὐτῶν φαινόμενον ἀργυροειδές.

ΑΛΦ. Ὡς ἀληθῶς οἶσθα τὴν πηγήν, ὦ Πόσειδον, παρ' ἐκείνην οὖν ἀπέρχομαι.

ΠΟΣ. Ἀλλ' ἄπιθι μὲν καὶ εὐτύχει ἐν τῷ ἔρωτι· ἐκεῖνο δέ μοι εἰπέ, ποῦ τὴν Ἀρέθουσαν εἶδες, αὐτὸς μὲν Ἀρκὰς ὤν, ἡ δὲ ἐν Συρακούσαις ἐστίν;

[33]

ΑΛΦ. Ἐπειγόμενόν με κατέχεις, ὦ Πόσειδον, περίεργα ἐρωτῶν.

ΠΟΣ. Εὖ λέγεις· χώρει παρὰ τὴν ἀγαπωμένην, καὶ ἀναδὺς ἀπὸ τῆς θαλάττης, συναυλίᾳ μίγνυσο τῇ πηγῇ καὶ ἓν ὕδωρ γίγνεσθε.

## 4

## ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΡΩΤΕΩΣ

ΜΕΝ. Ἀλλὰ ὕδωρ μέν σε γίγνεσθαι, ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, ἐνάλιόν γε ὄντα, καὶ δένδρον, ἔτι φορητόν, καὶ ἐς λέοντα αὖ ἐὰν ἀλλαγῇς, ὅμως οὐδὲ τοῦτο ἔξω πίστεως· εἰ δὲ καὶ πῦρ γίγνεσθαι δυνατὸν ἐν θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω καὶ ἀπιστῶ.

ΠΡΩΤ. Μὴ θαυμάσῃς, ὦ Μενέλαε· γίγνομαι γάρ.

ΜΕΝ. Εἶδον καὶ αὐτός· ἀλλά μοι δοκεῖς—εἰρήσεται γὰρ πρὸς σέ—γοητείαν τινὰ προσάγειν τῷ πράγματι, καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τῶν ὁρώντων, αὐτὸς οὐδὲν τοιοῦτο γιγνόμενος.

ΠΡΩΤ. Καὶ τίς ἂν ἡ ἀπάτη ἐπὶ τῶν οὕτως ἐναργῶν γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες, ἐς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς, καὶ τὸ πρᾶγμα ψευδὲς εἶναι δοκεῖ, φαντασία τις πρὸ τῶν ὀφθαλμῶν ἱσταμένη, ἐπειδὰν πῦρ γένωμαι, προσένεγκέ μοι, ὦ γενναιότατε, τὴν χεῖρα· εἴσῃ γάρ, εἰ ὁρῶμαι μόνον, ἢ καὶ τὸ καίειν τότε μοι πρόσεστιν.

ΜΕΝ. Οὐκ ἀσφαλὴς ἡ πεῖρα, ὦ Πρωτεῦ.

ΠΡΩΤ. Σὺ δέ μοι, Μενέλας, δοκεῖς οὐδὲ πολύπουν

ἑορακέναι πώποτε, οὐδὲ εἰδέναι ὅ τι πάσχει ὁ ἰχθὺς οὗτος.

ΜΕΝ. Ἀλλὰ τὸν μὲν πολύπουν εἶδον, ἅττα δὲ πάσχει ἡδέως ἂν μάθοιμι παρὰ σοῦ.

ΠΡΩΤ. Ὁποίᾳ ἂν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας καὶ προσφὺς ἔχηται κατὰ τὰς πλεκτάνας, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτόν, καὶ μεταβάλλει τὴν χρόαν μιμούμενος τὴν πέτραν, ὡς ἂν λάθῃ τοὺς ἁλιέας μὴ φανερὸς ὢν διὰ τοῦτο, ἀλλὰ ἐοικὼς τῷ λίθῳ.

ΜΕΝ. Φασὶ ταῦτα· τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Πρωτεῦ.

ΠΡΩΤ. Οὐκ οἶδα, ὦ Μενέλαε, τίνι ἂν ἄλλῳ πιστεύσειας, τοῖς σεαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν.

ΜΕΝ. Εἶδον· ἀλλὰ τὸ πρᾶγμα τεράστιον, ὁ αὐτὸς πῦρ καὶ ὕδωρ.

## 5

## ΤΡΙΤΩΝΟΣ, ΑΜΥΜΩΝΗΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ

ΤΡΙΤ. Ἐπὶ τὴν Λέρναν, ὦ Πόσειδον, παραγίγνεται καθ' ἑκάστην ἡμέραν ὑδρευσομένη παρθένος, πάγκαλόν τι χρῆμα· οὐκ οἶδα ἔγωγε καλλίω παῖδα ἰδών.

ΠΟΣ. Ἐλευθέραν τινά, ὦ Τρίτων, λέγεις, ἢ θεράπαινά τις ὑδροφόρος ἐστίν;

ΤΡΙΤ. Οὐ μὲν οὖν, ἀλλὰ τοῦ Αἰγυπτίου ἐκείνου θυγάτηρ, μία τῶν πεντήκοντα καὶ αὐτή, Ἀμυμώνη τοὔνομα· ἐπυθόμην γὰρ ἥτις καλοῖτο καὶ τὸ γένος. ὁ Δαναὸς

[35]

δὲ σκληραγωγεῖ τὰς θυγατέρας, καὶ αὐτουργεῖν διδάσκει, καὶ πέμπει τε ὕδωρ ἀρυσομένας καὶ πρὸς τὰ ἄλλα παιδεύει ἀόκνους εἶναι αὐτάς.

ΠΟΣ. Μόνη δὲ παραγίγνεται μακρὰν οὕτω τὴν ὁδὸν ἐξ Ἄργους ἐς Λέρναν;

ΤΡΙΤ. Μόνη· πολυδίψιον δὲ τὸ Ἄργος, ὡς οἶσθα· ὥστε ἀνάγκη ἀεὶ ὑδροφορεῖν.

ΠΟΣ. Ὦ Τρίτων, οὐ μετρίως διετάραξάς με εἰπὼν τὰ περὶ τῆς παιδός· ὥστε ἴωμεν ἐπ' αὐτήν.

ΤΡΙΤ. Ἴωμεν· ἤδη γοῦν καιρὸς τῆς ὑδροφορίας· καὶ σχεδόν που κατὰ μέσην τὴν ὁδόν ἐστιν ἰοῦσα ἐς τὴν Λέρναν.

ΠΟΣ. Οὐκοῦν ζεῦξον τὸ ἅρμα· ἢ τοῦτο μὲν πολλὴν ἔχει τὴν διατριβήν, ὑπάγειν τοὺς ἵππους τῇ ζεύγλῃ καὶ τὸ ἅρμα ἐπισκευάζειν, σὺ δὲ ἀλλὰ δελφῖνά μοί τινα τῶν ὠκέων παράστησον· ἱππεύσω γὰρ ἐπ' αὐτοῦ τάχιστα.

ΤΡΙΤ. Ἰδού σοι οὑτοσὶ δελφίνων ὁ ὠκύτατος.

ΠΟΣ. Εὖ γε· ἀπελαύνωμεν· σὺ δὲ παρανήχου, ὦ Τρίτων. κἀπειδὴ πάρεσμεν ἐς τὴν Λέρναν, ἐγὼ μὲν λοχήσω ἐνταῦθά που, σὺ δὲ ἀποσκόπει· ὁπόταν αἴσθῃ προσιοῦσαν αὐτὴν—

ΤΡΙΤ. Αὕτη σοι πλησίον.

ΠΟΣ. Καλή, ὦ Τρίτων, καὶ ὡραία παρθένος· ἀλλὰ συλληπτέα ἡμῖν ἐστιν.

ΑΜ. Ἄνθρωπε, ποῖ με συναρπάσας ἄγεις; ἀνδραποδιστὴς εἶ, καὶ ἔοικας ἡμῖν ὑπ' Αἰγύπτου τοῦ θείου ἐπιπεμφθῆναι· ὥστε βοήσομαι τὸν πατέρα.

ΤΡΙΤ. Σιώπησον, ὦ Ἀμυμώνη· Ποσειδῶν ἐστι.

ΑΜ. Τί Ποσειδῶν λέγεις; τί βιάζῃ με, ὦ ἄνθρωπε, καὶ ἐς τὴν θάλατταν καθέλκεις; ἐγὼ δὲ ἀποπνιγήσομαι ἡ ἀθλία καταδῦσα.

ΠΟΣ. Θάρρει, οὐδὲν δεινὸν μὴ πάθῃς· ἀλλὰ καὶ πηγὴν ἐπώνυμόν σοι ἀναδοθῆναι ἐάσω ἐνταῦθα, πατάξας τῇ τριαίνῃ τὴν πέτραν πλησίον τοῦ αἰγιαλοῦ, καὶ σὺ εὐδαίμων ἔσῃ, καὶ μόνη τῶν ἀδελφῶν οὐχ ὑδροφορήσεις ἀποθανοῦσα.

6

## ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝΩΝ

ΠΟΣ. Εὖ γε, ὦ Δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε, καὶ πάλαι μὲν τὸ τῆς Ἰνοῦς παιδίον ἐπὶ τὸν Ἰσθμὸν ἐκομίσατε, ὑποδεξάμενοι ἀπὸ τῶν Σκειρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσόν, καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τουτονὶ τὸν ἐκ Μηθύμνης ἀναλαβών, ἐξενήξω ἐς Ταίναρον, αὐτῇ σκευῇ καὶ κιθάρᾳ, οὐδὲ περιεῖδες κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον.

ΔΕΛΦ. Μὴ θαυμάσῃς, ὦ Πόσειδον, εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν, ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι.

ΠΟΣ. Καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δέον χειρώσασθαι μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο. πῶς δ' οὖν τὰ κατὰ τὸν Ἀρίονα τοῦτον ἐγένετο, ὦ Δελφίς;

ΔΕΛΦ. Ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ, καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τῇ τέχνῃ, ὁ δὲ πλουτήσας παρὰ τοῦ τυράννου, ἐπεθύμησε πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν ἐπιδείξασθαι τὸν πλοῦτον· καὶ ἐπιβὰς

πορθμείου τινὸς κακούργων ἀνδρῶν, ὡς ἐφαίνετο πολὺν ἄγων χρυσόν τε καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένοντο, ἐπιβουλεύουσιν αὐτῷ οἱ ναῦται· ὁ δὲ—ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει—Ἐπεὶ ταῦτα ὑμῖν δέδοκται, ἔφη, ἀλλὰ τὴν σκευὴν ἀναλαβόντα με, καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ, ἑκόντα ἐάσατε ῥῖψαι ἐμαυτόν. ἐπέτρεψαν οἱ ναῦται καὶ ἀνέλαβε τὴν σκευὴν καὶ ᾖσε πάνυ λιγυρόν, καὶ ἔπεσεν ἐς τὴν θάλατταν ὡς αὐτίκα πάντως ἀποθανούμενος· ἐγὼ δὲ ὑπολαβὼν καὶ ἀναθέμενος αὐτόν, ἐξενηξάμην ἔχων ἐς Ταίναρον.

ΠΟΣ. Ἐπαινῶ σε τῆς φιλομουσίας· ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ ἀκροάσεως.

## 7

## ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ

ΠΟΣ. Τὸ μὲν στενὸν τοῦτο, ἔνθα ἡ παῖς κατηνέχθη, Ἑλλήσποντος ἀπ' αὐτῆς καλείσθω· τὸν δὲ νεκρὸν ὑμεῖς, ὦ Νηρηΐδες, παραλαβοῦσαι τῇ Τρῳάδι προσενέγκατε, ὡς ταφῇ ὑπὸ τῶν ἐπιχωρίων.

ΑΜΦ. Μηδαμῶς, ὦ Πόσειδον, ἀλλ' ἐνταῦθα ἐν τῷ ἐπωνύμῳ πελάγει τεθάφθω· ἐλεοῦμεν γὰρ αὐτήν, οἴκτιστα ὑπὸ τῆς μητρυιᾶς πεπονθυῖαν.

ΠΟΣ. Τοῦτο μέν, ὦ Ἀμφιτρίτη, οὐ θέμις· οὐδὲ ἄλλως καλὸν ἐνταῦθά που κεῖσθαι ὑπὸ τῇ ψάμμῳ αὐτήν, ἀλλ' ὅπερ ἔφην, ἐν τῇ Τρῳάδι ἢ ἐν Χερρονήσῳ τεθάψεται. ἐκεῖνο δὲ παραμύθιον οὐ μικρὸν ἔσται αὐτῇ, ὅτι μετ' ὀλίγον τὰ αὐτὰ καὶ ἡ Ἰνὼ πείσεται, καὶ

ἐμπεσεῖται ὑπὸ τοῦ Ἀθάμαντος διωκομένη ἐς τὸ πέλαγος ἀπ' ἄκρου τοῦ Κιθαιρῶνος, οὗπερ καθήκει ἐς τὴν θάλατταν, ἔχουσα καὶ τὸν υἱὸν ἐπὶ τῆς ἀγκάλης. ἀλλὰ κἀκείνην σῶσαι δεήσει χαρισαμένους τῷ Διονύσῳ· τροφὸς γὰρ αὐτοῦ καὶ τίτθη ἡ Ἰνώ.

ΑΜΦ. Οὐκ ἐχρῆν οὕτω πονηρὰν οὖσαν.

ΠΟΣ. Ἀλλὰ τῷ Διονύσῳ ἀχαριστεῖν, ὦ Ἀμφιτρίτη, οὐκ ἄξιον.

ΝΗΡ. Αὕτη δὲ ἄρα τί παθοῦσα κατέπεσεν ἀπὸ τοῦ κριοῦ; ὁ ἀδελφὸς δὲ ὁ Φρίξος ἀσφαλῶς ὀχεῖται;

ΠΟΣ. Εἰκότως· νεανίας γὰρ καὶ δυνατὸς ἀντέχειν πρὸς τὴν φοράν, ἡ δὲ ὑπ' ἀηθείας ἐπιβᾶσα ὀχήματος παραδόξου, καὶ ἀπιδοῦσα ἐς βάθος, ἐκπλαγεῖσα καὶ τῷ θάλπει ἅμα πιεζομένη καὶ ἰλιγγιάσασα, ἀκρατὴς ἐγένετο τῶν κεράτων τοῦ κριοῦ, ὧν τέως ἀντείχετο, καί κατέπεσεν ἐς τὸ πέλαγος.

ΝΗΡ. Οὔκουν ἐχρῆν τὴν μητέρα τὴν Νεφέλην βοηθῆσαι πιπτούσῃ;

ΠΟΣ. Ἐχρῆν· ἀλλ' ἡ Μοῖρα τῆς Νεφέλης πολλῷ δυνατωτέρα.

## 8

## ΙΡΙΔΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ

ΙΡΙΣ. Τὴν νῆσον τὴν πλανωμένην, ὦ Πόσειδον, ἣν ἀποσπασθεῖσαν τῆς Σικελίας ὕφαλον ἔτι νήχεσθαι συμβέβηκε, ταύτην, φησὶν ὁ Ζεύς, στῆσον ἤδη, καὶ ἀνάφηνον, καὶ ποίησον ἤδη δῆλον ἐν τῷ Αἰγαίῳ μέσῳ βεβαίως μένειν στηρίξας πάνυ ἀσφαλῶς· δεῖται γάρ τι αὐτῆς.

ΠΟΣ. Πεπράξεται ταῦτα, ὦ Ἶρι. τίνα δὲ ὅμως παρέξει αὐτῷ τὴν χρείαν ἀναφανεῖσα καὶ οὐκέτι πλέουσα;

ΙΡΙΣ. Τὴν Λητὼ ἐπ' αὐτῆς δεῖ τίκτειν.

ΠΟΣ. Τί οὖν; οὐχ ἱκανὸς ὁ οὐρανὸς ἐντεκεῖν; εἰ δὲ μὴ οὗτος, ἀλλ' ἥ γε γῆ πᾶσα οὐκ ἂν δύναιτο ὑποδέξασθαι τὰς γονὰς αὐτῆς;

ΙΡΙΣ. Οὔκ, ὦ Πόσειδον· ἡ Ἥρα γὰρ ὅρκῳ μεγάλῳ κατέλαβε τὴν γῆν, μὴ παρασχεῖν τῇ Λητοῖ τῶν ὠδίνων ὑποδοχήν. ἡ τοίνυν νῆσος αὕτη ἀνώμοτός ἐστιν· ἀφανὴς γὰρ ἦν.

ΠΟΣ. Συνίημι. στῆθι, ὦ νῆσε, καὶ ἀνάδυθι αὖθις ἐκ τοῦ βυθοῦ καὶ μηκέτι ὑποφέρου, ἀλλὰ βεβαίως μένε καὶ ὑπόδεξαι, ὦ εὐδαιμονεστάτη, τοῦ ἀδελφοῦ τὰ τέκνα δύο, τοὺς καλλίστους τῶν θεῶν· καὶ ὑμεῖς, ὦ Τρίτωνες, διαπορθμεύσατε τὴν Λητὼ ἐς αὐτήν· καὶ γαληνὰ ἅπαντα ἔστω. τὸν δράκοντα δέ, ὃς νῦν ἐξοιστρεῖ αὐτὴν φοβῶν, τὰ νεογνὰ ἐπειδὰν τεχθῇ, αὐτίκα μέτεισι καὶ τιμωρήσει τῇ μητρί. σὺ δὲ ἀπάγγελλε τῷ Διὶ πάντα εἶναι εὐτρεπῆ· ἕστηκεν ἡ Δῆλος· ἡκέτω ἡ Λητὼ ἤδη καὶ τικτέτω.

## 9

## ΞΑΝΘΟΥ ΚΑΙ ΘΑΛΑΤΤΗΣ

ΞΑΝΘ. Δέξαι με, ὦ θάλαττα, δεινὰ πεπονθότα, καὶ κατάσβεσόν μου τὰ τραύματα.

ΘΑΛ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν;

ΞΑΝΘ. Ὁ Ἥφαιστος. ἀλλ' ἀπηνθράκωμαι ὅλος ὁ κακοδαίμων, καὶ ζέω.

ΘΑΛ. Διὰ τί δαί σοι καὶ ἐνέβαλε τὸ πῦρ;

ΞΑΝΘ. Διὰ τὸν ταύτης υἱὸν τῆς Θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἱκετεύσας οὐκ ἔπαυσα τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἐνέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους ἐπῆλθον ἐπικλύσαι ἐθέλων, ἵνα φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν. ἐνταῦθα ὁ Ἥφαιστος —ἔτυχε γὰρ πλησίον που ὤν—πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε καὶ ὅσον ἐν τῇ Αἴτνῃ καὶ εἴ ποθι ἄλλοθι, φέρων ἐπῆλθέ μοι, καὶ ἔκαυσε μὲν τὰς πτελέας καὶ μυρίκας, ὤπτησε δὲ καὶ τοὺς ἰχθῦς καὶ τὰς ἐγχέλεις, αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται. ὁρᾷς γοῦν, ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων.

ΘΑΛ. Θολερός, ὦ Ξάνθε, καὶ θερμός, ὡς εἰκός, τὸ αἷμα μὲν ἀπὸ τῶν νεκρῶν, ἡ θέρμη δέ, ὡς φῄς, ἀπὸ τοῦ πυρός· καὶ εἰκότως, ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱωνὸν ὥρμησας οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν.

ΞΑΝΘ. Οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας;

ΘΑΛ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

## 10

## ΔΩΡΙΔΟΣ ΚΑΙ ΘΕΤΙΔΟΣ

ΔΩΡ. Τί δακρύεις, ὦ Θέτι;

ΘΕΤ. Καλλίστην, ὦ Δωρί, κόρην εἶδον ἐς κιβωτὸν ὑπὸ τοῦ πατρὸς ἐμβληθεῖσαν, αὐτήν τε καὶ βρέφος αὐτῆς ἀρτιγέννητον· ἐκέλευσε δὲ ὁ πατὴρ τοὺς ναύτας

ἀναλαβόντας τὸ κιβώτιον, ἐπειδὰν πολὺ ἀπὸ τῆς γῆς ἀπέλθωσιν, ἀφεῖναι ἐς τὴν θάλατταν, ὡς ἀπόλοιτο ἡ ἀθλία, καὶ αὐτὴ καὶ τὸ βρέφος.

ΔΩΡ. Τίνος δὲ ἕνεκα, ὦ ἀδελφή; εἰπέ, εἴ τι ἔμαθες, ἀκριβῶς ἅπαντα.

ΘΕΤ. Ὁ Ἀκρίσιος ὁ πατὴρ αὐτῆς καλλίστην οὖσαν ἔσῳζεν, ἐς χαλκοῦν τινα θάλαμον ἐμβαλών· εἶτα, εἰ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, φασὶ δ' οὖν τὸν Δία χρυσὸν γενόμενον ῥυῆναι διὰ τοῦ ὀρόφου ἐπ' αὐτήν, δεξαμένην δὲ ἐκείνην ἐς τὸν κόλπον καταρρέοντα τὸν θεὸν τεκεῖν τὸν παῖδα. τοῦτο αἰσθόμενος ὁ πατήρ, ἄγριός τις καὶ ζηλότυπος γέρων, ἠγανάκτησε, καὶ ἐμβάλλει ἐς τὴν κιβωτὸν ἄρτι τετοκυῖαν.

ΔΩΡ. Ἡ δὲ τί ἔπραττεν, ὦ Θέτι, ὁπότε καθίετο;

ΘΕΤ. Ὑπὲρ αὐτῆς μὲν ἐσίγα, ὦ Δωρί, καὶ ἔφερε τὴν καταδίκην, τὸ βρέφος δὲ παρῃτεῖτο μὴ ἀποθανεῖν, δακρύουσα καὶ τῷ πάππῳ δεικνύουσα αὐτό, κάλλιστον ὄν· τὸ δὲ ὑπ' ἀγνοίας τῶν κακῶν ὑπεμειδία πρὸς τὴν θάλατταν. ὑποπίμπλαμαι αὖθις τοὺς ὀφθαλμοὺς δακρύων, μνημονεύουσα αὐτῶν.

ΔΩΡ. Κἀμὲ δακρῦσαι ἐποίησας. ἀλλ' ἤδη τεθνᾶσιν;

ΘΕΤ. Οὐδαμῶς· νήχεται γὰρ ἔτι ἡ κιβωτὸς ἀμφὶ τὴν Σέριφον, ζῶντας αὐτοὺς φυλάττουσα.

ΔΩΡ. Τί οὖν οὐχὶ σῴζομεν αὐτήν, τοῖς ἁλιεῦσι τούτοις ἐμβαλοῦσαι ἐς τὰ δίκτυα, τοῖς Σεριφίοις; οἱ δὲ ἀνασπάσαντες σώσουσι δῆλον ὅτι.

ΘΕΤ. Εὖ λέγεις, οὕτω ποιῶμεν· μὴ γὰρ ἀπολέσθω μήτε αὐτὴ μήτε τὸ παιδίον οὕτως ὂν καλόν.

## 11

## ΤΡΙΤΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ

ΤΡΙΤ. Τὸ κῆτος ὑμῶν, ὦ Νηρηΐδες, ὃ ἐπὶ τὴν τοῦ Κηφέως θυγατέρα τὴν Ἀνδρομέδαν ἐπέμψατε, οὔτε τὴν παῖδα ἠδίκησεν, ὡς οἴεσθε, καὶ αὐτὸ ἤδη τέθνηκεν.

ΝΗΡ. Ὑπὸ τίνος, ὦ Τρίτων; ἢ ὁ Κηφεὺς ὥσπερ δέλεαρ προθεὶς τὴν κόρην ἀπέκτεινεν ἐπιών, λοχήσας μετὰ πολλῆς δυνάμεως;

ΤΡΙΤ. Οὔκ· ἀλλὰ ἴστε, οἶμαι, ὦ Ἰφιάνασσα, τὸν Περσέα, τὸ τῆς Δανάης παιδίον, ὃ μετὰ τῆς μητρὸς ἐν τῇ κιβωτῷ ἐμβληθὲν ἐς τὴν θάλατταν ὑπὸ τοῦ μητροπάτορος ἐσώσατε, οἰκτίραντα αὐτούς.

ΙΦ. Οἶδα ὃν λέγεις· εἰκὸς δὲ ἤδη νεανίαν εἶναι καὶ μάλα γενναῖόν τε καὶ καλὸν ἰδεῖν.

ΤΡΙΤ. Οὗτος ἀπέκτεινε τὸ κῆτος.

ΙΦ. Διὰ τί, ὦ Τρίτων; οὐ γὰρ δὴ σῶστρα ἡμῖν τοιαῦτα ἐκτίνειν αὐτὸν ἐχρῆν.

ΤΡΙΤ. Ἐγὼ ὑμῖν φράσω τὸ πᾶν ὡς ἐγένετο· ἐστάλη μὲν οὗτος ἐπὶ τὰς Γοργόνας ἆθλόν τινα τοῦτον τῷ βασιλεῖ ἐπιτελῶν, ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν Διβύην—

ΙΦ. Πῶς, ὦ Τρίτων; μόνος; ἢ καὶ ἄλλους συμμάχους ἦγεν; ἄλλως γὰρ δύσπορος ἡ ὁδός.

ΤΡΙΤ. Διὰ τοῦ ἀέρος· ὑπόπτερον γὰρ αὐτὸν ἡ Ἀθηνᾶ ἔθηκεν. ἐπεὶ δ' οὖν ἧκεν ὅπου διῃτῶντο, αἱ μὲν ἐκάθευδον, οἶμαι, ὁ δὲ ἀποτεμὼν τῆς Μεδούσης τὴν κεφαλὴν ᾤχετο ἀποπτάμενος.

ΙΦ. Πῶς ἰδών; ἀθέατοι γάρ εἰσιν· ἢ ὃς ἂν ἴδῃ, οὐκ ἄν τι ἄλλο μετὰ ταύτας ἴδοι.

[43]

ΤΡΙΤ. Ἡ Ἀθηνᾶ τὴν ἀσπίδα προφαίνουσα—τοιαῦτα γὰρ ἤκουσα διηγουμένου αὐτοῦ πρὸς τὴν Ἀνδρομέδαν καὶ πρὸς τὸν Κηφέα ὕστερον—ἡ Ἀθηνᾶ δή, ἐπὶ τῆς ἀσπίδος ἀποστιλβούσης, ὥσπερ ἐπὶ τοῦ κατόπτρου, παρέσχεν αὐτῷ ἰδεῖν τὴν εἰκόνα τῆς Μεδούσης· εἶτα λαβόμενος τῇ ἀριστερᾷ τῆς κόμης, ἐνορῶν δ' ἐς τὴν εἰκόνα, τῇ δεξιᾷ τὴν ἅρπην ἔχων, ἀπέτεμε τὴν κεφαλὴν αὐτῆς, καὶ πρὶν ἀνεγρέσθαι τὰς ἀδελφὰς ἀνέπτατο. ἐπεὶ δὲ κατὰ τὴν παράλιον ταύτην Αἰθιοπίαν ἐγένετο, ἤδη πρὸς τῇ γῇ πετόμενος, ὁρᾷ τὴν Ἀνδρομέδαν, προκειμένην ἐπί τινος πέτρας προβλῆτος, προσπεπατταλευμένην, καλλίστην, ὦ θεοί, καθειμένην τὰς κόμας· καὶ τὸ μὲν πρῶτον οἰκτίρας τὴν τύχην αὐτῆς, ἀνηρώτα τὴν αἰτίαν τῆς καταδίκης, κατὰ μικρὸν δὲ ἁλοὺς ἔρωτι—ἐχρῆν γὰρ σεσῶσθαι τὴν παῖδα—βοηθεῖν διέγνω· καὶ ἐπειδὴ τὸ κῆτος ἐπῄει μάλα φοβερόν, ὡς καταπιόμενον τὴν Ἀνδρομέδαν, ὑπεραιωρηθεὶς ὁ νεανίσκος, πρόκωπον ἔχων τὴν ἅρπην, τῇ μὲν καθικνεῖται, τῇ δὲ προδεικνὺς τὴν Γοργόνα λίθον ἐποίει αὐτό, τὸ δὲ τέθνηκεν ὁμοῦ καὶ πέπηγεν αὐτοῦ τὰ πολλά, ὅσα εἶδε τὴν Μέδουσαν· ὁ δὲ λύσας τὰ δεσμὰ τῆς παρθένου, ὑποσχὼν τὴν χεῖρα, ὑπεδέξατο ἀκροποδητὶ κατιοῦσαν ἐκ τῆς πέτρας ὀλισθηρᾶς οὔσης, καὶ νῦν γαμεῖ ἐν τοῦ Κηφέως, καὶ ἀπάξει αὐτὴν ἐς Ἄργος, ὥστε ἀντὶ θανάτου γάμον οὐ τὸν τυχόντα εὕρετο.

ΙΦ. Ἐγὼ μὲν οὐ πάνυ τῷ γεγονότι ἄχθομαι· τί γὰρ ἡ παῖς ἠδίκει ἡμᾶς, εἴ τι ἡ μήτηρ ἐμεγαλαυχεῖτο καὶ ἠξίου καλλίων εἶναι;

ΔΩΡ. Ὅτι οὕτως ἂν ἤλγησεν ἐπὶ τῇ θυγατρὶ μήτηρ γε οὖσα.

ΙΦ. Μηκέτι μεμνώμεθα, ὦ Δωρί, ἐκείνων, εἴ τι βάρβαρος γυνὴ ὑπὲρ τὴν ἀξίαν ἐλάλησεν· ἱκανὴν γὰρ ἡμῖν τιμωρίαν ἔδωκε φοβηθεῖσα ἐπὶ τῇ παιδί. χαίρωμεν οὖν τῷ γάμῳ.

12

## ΖΕΦΥΡΟΥ ΚΑΙ ΝΟΤΟΥ

ΖΕΦ. Οὐ πώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάττῃ, ἀφ' οὗ γέ εἰμι καὶ πνέω. σὺ δὲ οὐκ εἶδες, ὦ Νότε;

ΝΟΤ. Τίνα ταύτην λέγεις, ὦ Ζέφυρε, τὴν πομπήν; ἢ τίνες οἱ πέμποντες ἦσαν;

ΖΕΦ. Ἡδίστου θεάματος ἀπελείφθης, οἷον οὐκ ἂν ἄλλο ἴδοις ἔτι.

ΝΟΤ. Περὶ τὴν ἐρυθρὰν γὰρ θάλατταν ἠργαζόμην, ἐπέπνευσα δὲ καὶ μέρος τῆς Ἰνδικῆς, ὅσα παράλια τῆς χώρας· οὐδὲν οὖν οἶδα ὧν λέγεις.

ΖΕΦ. Ἀλλὰ τὸν Σιδώνιον Ἀγήνορα οἶσθα;

ΝΟΤ. Ναί· τὸν τῆς Εὐρώπης πατέρα. τί μήν;

ΖΕΦ. Περὶ αὐτῆς ἐκείνης διηγήσομαί σοι.

ΝΟΤ. Μῶν ὅτι ὁ Ζεὺς ἐραστὴς τῆς παιδὸς ἐκ πολλοῦ; τοῦτο γὰρ καὶ πάλαι ἠπιστάμην.

ΖΕΦ. Οὐκοῦν τὸν μὲν ἔρωτα οἶσθα, τὰ μετὰ ταῦτα δὲ ἤδη ἄκουσον. ἡ μὲν Εὐρώπη κατεληλύθει ἐπὶ τὴν ἠϊόνα παίζουσα, τὰς ἡλικιώτιδας παραλαβοῦσα, ὁ Ζεὺς δὲ ταύρῳ εἰκάσας ἑαυτὸν συνέπαιζεν αὐταῖς κάλλιστος

φαινόμενος· λευκὸς τε γὰρ ἦν ἀκριβῶς, καὶ τὰ κέρατα εὐκαμπής, καὶ τὸ βλέμμα ἥμερος· ἐσκίρτα οὖν καὶ αὐτὸς ἐπὶ τῆς ἠϊόνος καὶ ἐμυκᾶτο ἥδιστον, ὥστε τὴν Εὐρώπην τολμῆσαι καὶ ἀναβῆναι ἐπ' αὐτόν. ὡς δὲ τοῦτο ἐγένετο, δρομαῖος μὲν ὁ Ζεὺς ὥρμησεν ἐπὶ τὴν θάλατταν, φέρων αὐτήν, καὶ ἐνήχετο ἐμπεσών, ἡ δὲ πάνυ ἐκπλαγὴς τῷ πράγματι, τῇ μὲν ἀριστερᾷ εἴχετο τοῦ κέρατος, ὡς μὴ ἀπολισθάνοι, τῇ ἑτέρᾳ δὲ ἠνεμωμένον τὸν πέπλον συνεῖχεν.

ΝΟΤ. Ἡδὺ τοῦτο θέαμα εἶδες, ὦ Ζέφυρε, νηχόμενον τὸν Δία φέροντα τὴν ἀγαπωμένην.

ΖΕΦ. Καὶ μὴν τὰ μετὰ ταῦτα ἡδίω πολύ, ὦ Νότε· ἥ τε γὰρ θάλαττα εὐθὺς ἀκύμων ἐγένετο, ἡμεῖς δὲ πάντες ἡσυχίαν ἄγοντες, οὐδὲν ἄλλο ἢ θεαταὶ μόνον τῶν γιγνομένων παρηκολουθοῦμεν, Ἔρωτες δὲ παραπετόμενοι μικρὸν ἐκ τῆς θαλάττης, ὡς ἐνίοτε ἄκροις τοῖς ποσὶν ἐπιψαύειν τοῦ ὕδατος, ἡμμένας τὰς δᾷδας φέροντες, ᾖδον ἅμα τὸν ὑμέναιον, αἱ Νηρηΐδες δὲ ἀναδῦσαι, παρίππευον ἐπὶ τῶν δελφίνων, ἐπικροτοῦσαι, τό τε τῶν Τριτώνων γένος καὶ εἴ τι ἄλλο μὴ φοβερὸν ἰδεῖν τῶν θαλαττίων, ἅπαντα περιεχόρευε τὴν παῖδα· ὁ μὲν γὰρ Ποσειδῶν ἐπιβεβηκὼς ἅρματος, παροχουμένην τὴν Ἀμφιτρίτην ἔχων, προῆγε γεγηθὼς ὁδοποιῶν νηχομένῳ τῷ ἀδελφῷ· ἐπὶ πᾶσι δὲ τὴν Ἀφροδίτην δύο Τρίτωνες ἔφερον ἐπὶ κόγχης κατακειμένην, ἄνθη παντοῖα ἐπιπάττουσαν τῇ νύμφῃ. ταῦτα ἐκ Φοινίκης ἄχρι τῆς Κρήτης ἐγένετο· ἐπεὶ δὲ ἐπέβη τῆς νήσου, ὁ μὲν ταῦρος οὐκέτι ἐφαίνετο, ἐπιλαβόμενος δὲ τῆς χειρὸς ὁ Ζεὺς ἀπῆγε τὴν Εὐρώπην ἐς τὸ Δικταῖον

ἄντρον. ἡμεῖς δὲ ἐμπεσόντες ἄλλο ἄλλος τοῦ πελάγους μέρος διεκυμαίνομεν.

ΝΟΤ. Ὦ μακάριε Ζέφυρε τῆς θέας· ἐγὼ δὲ γρῦπας καὶ ἐλέφαντας καὶ μέλανας ἀνθρώπους ἑώρων.

# ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ

## 1

## ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ

ΔΙΟΓ. Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιστα ἀνέλθῃς,—σὸν γάρ ἐστιν, οἶμαι, αναβιῶναι αὔριον—ἤν που ἴδῃς Μένιππον τὸν κύνα,—εὕροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ, κατὰ τὸ Κράνειον ἢ ἐν Λυκείῳ, τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα—εἰπεῖν πρὸς αὐτόν, ὅτι σοί, ὦ Μένιππε, κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν δεῦρο πολλῷ πλείω ἐπιγελασόμενον· ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοι ἔτι ὁ γέλως ἦν, καὶ πολὺ τὸ "τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον;" ἐνταῦθα δὲ οὐ παύσῃ βεβαίως γελῶν ὥσπερ ἐγὼ νῦν, καὶ μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους καὶ σατράπας καὶ τυράννους οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγινωσκομένους, καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι μεμνημένοι τῶν ἄνω. ταῦτα λέγε αὐτῷ, καὶ προσέτι, ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν, καὶ εἴ που εὕροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον, ἢ ᾠὸν ἐκ καθαρσίου ἤ τι τοιοῦτον.

[47]

ΠΟΛ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες. ἀλλὰ ποῖός τίς ἐστι τὴν ὄψιν.

ΔΙΟΓ. Γέρων, φαλακρός τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον, γελᾷ δ' ἀεί, καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει.

ΠΟΛ. Ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων.

ΔΙΟΓ. Βούλη καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλοσόφους;

ΠΟΛ. Λέγε· οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο.

ΔΙΟΓ. Τὸ μὲν ὅλον παύσασθαι αὐτοῖς κέλευε ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τὰ τοιαῦτα ἄπορα ἐρωτᾶν διδάσκουσι τὸν νοῦν.

ΠΟΛ. Ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φάσκουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν.

ΔΙΟΓ. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε.

ΠΟΛ. Καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ.

ΔΙΟΓ. Τοῖς πλουσίοις δ', ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελλε ταῦτα παρ' ἡμῶν· τί, ὦ μάταιοι, τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ὑμᾶς αὐτούς, λογιζόμενοι τοὺς τόκους καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας ἥκειν μετ' ὀλίγον;

ΠΟΛ. Εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους.

ΔΙΟΓ. Ἀλλὰ καὶ τοῖς καλοῖς τε καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη, οὔτε τὰ χαροπὰ ἢ μέλανα ὄμματα, οὔτ' ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι

ἔστιν, οὔτε νεῦρα εὔτονα, οὔτ' ὦμοι καρτεροί, ἀλλὰ πάντα μία ἡμῖν κόνις, φασί, κρανία γυμνὰ τοῦ κάλλους.

ΠΟΛ. Οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς.

ΔΙΟΓ. Καὶ τοῖς πένησιν, ὦ Λάκων,—πολλοὶ δ' εἰσὶ καὶ ἀχθόμενοι τῷ πράγματι καὶ οἰκτίροντες τὴν ἀπορίαν—λέγε μήτε δακρύειν μήτε οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν, καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν· Λακεδαιμονίοις δὲ τοῖς σοῖς ταῦτα, εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον λέγων ἐκλελύσθαι αὐτούς.

ΠΟΛ. Μηδέν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε· οὐ γὰρ ἀνέξομαί γε. ἃ δὲ πρὸς τοὺς ἄλλους ἔφησθα, ἀπαγγελῶ.

ΔΙΟΓ. Ἐάσωμεν τούτους, ἐπεί σοι δοκεῖ· σὺ δὲ οἷς προεῖπον ἀπένεγκον παρ' ἐμοῦ τοὺς λόγους.

## 2

## ΧΑΡΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ ΚΑΙ ΝΕΚΡΩΝ ΔΙΑΦΟΡΩΝ

ΧΑΡ. Ἀκούσατε ὡς ἔχει ἡμῖν τὰ πράγματα. μικρὸν μὲν ἡμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον καὶ ὑπόσαθρόν ἐστι, καὶ διαρρεῖ τὰ πολλά, καὶ ἢν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν, ὑμεῖς δὲ ἅμα τοσοῦτοι ἥκετε πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδοικα μὴ ὕστερον μετανοήσητε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε.

ΕΡΜ. Πῶς οὖν ποιήσαντες εὐπλοήσομεν;

ΧΑΡ. Ἐγὼ ὑμῖν φράσω· γυμνοὺς ἐπιβαίνειν χρή, τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠϊόνος καταλιπόντας· μόλις γὰρ ἂν καὶ οὕτως δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δέ, ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ, καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς διαγίγνωσκε αὐτούς, καὶ ἀναλάμβανε, γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων.

ΕΡΜ. Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν.—Οὑτοσὶ τίς ὁ πρῶτός ἐστι;

ΜΕΝ. Μένιππος ἔγωγε. ἀλλ' ἰδοὺ ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον, ἐς τὴν λίμνην ἀπερρίφθων, τὸν τρίβωνα δὲ οὐδὲ ἐκόμισα, εὖ ποιῶν.

ΕΡΜ. Ἔμβαινε, ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν παρὰ τὸν κυβερνήτην ἔχε ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. ὁ καλὸς δ' οὗτος τίς ἐστι;

ΧΑΡ. Χαρμόλεως ὁ Μεγαρικὸς ὁ εὐφιλής, οὗ τὸ φίλημα διτάλαντον ἦν.

ΕΡΜ. Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος, καὶ τὰ χείλη αὐτοῖς φιλήμασι, καὶ τὴν κόμην τὴν βαθεῖαν, καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα, καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς, εὔζωνος εἶ, ἐπίβαινε ἤδη. ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα, ὁ βλοσυρός, τίς ὢν τυγχάνεις;

ΛΑΜΠ. Λάμπιχος Γελῴων τύραννος.

ΕΡΜ. Τί οὖν, ὦ Λάμπιχε, τοσαῦτα ἔχων πάρει;

ΛΑΜΠ. Τί οὖν; ἐχρῆν, ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄνδρα;

ΕΡΜ. Τύραννον μὲν οὐδαμῶς, νεκρὸν δὲ μάλα· ὥστε ἀπόθου ταῦτα.

[50]

ΛΑΜΠ. Ἰδού σοι ὁ πλοῦτος ἀπέρριπται.

ΕΡΜ. Καὶ τὸν τῦφον ἀπόρριψον, ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν· βαρυνεῖ γὰρ τὸ πορθμεῖον συνεμπεσόντα.

ΛΑΜΠ. Ἀλλὰ τὸ διάδημα ἔασόν με ἔχειν καὶ τὴν ἐφεστρίδα.

ΕΡΜ. Οὐδαμῶς, ἀλλὰ καὶ ταῦτα ἄφες.

ΛΑΜΠ. Εἶεν. τί ἔτι; πάντα γὰρ ἀφῆκα, ὡς ὁρᾷς.

ΕΡΜ. Καὶ τὴν ὠμότητα καὶ τὴν ἄνοιαν καὶ τὴν ὕβριν καὶ τὴν ὀργήν, καὶ ταῦτα ἄφες.

ΛΑΜΠ. Ἰδού σοι ψιλός εἰμι.

ΕΡΜ. Ἔμβαινε ἤδη. σὺ δὲ ὁ παχύς, ὁ πολύσαρκος, τίς ὢν τυγχάνεις;

ΔΑΜ. Δαμασίας ὁ ἀθλητής.

ΕΡΜ. Ναί, ἔοικας· οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών.

ΔΑΜ. Ναί, ὦ Ἑρμῆ· ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα.

ΕΡΜ. Οὐ γυμνόν, ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον· ὥστε ἀπόδυθι αὐτάς, ἐπεὶ καταδύσεις τὸ σκάφος τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον· ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον καὶ τὰ κηρύγματα.

ΔΑΜ. Ἰδού σοι γυμνός, ὡς ὁρᾷς, ἀληθῶς εἰμι καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς.

ΕΡΜ. Οὕτως ἄμεινον ἀβαρῆ εἶναι· ὥστε ἔμβαινε. καὶ σὺ δὴ τὸν πλοῦτον ἀποθέμενος, ὦ Κράτων, καὶ τὴν μαλακίαν δὴ προσέτι καὶ τὴν τρυφήν, μηδὲ τὰ ἐντάφια κόμιζε, μηδὲ τὰ τῶν προγόνων ἀξιώματα, κατάλιπε δὲ καὶ γένος, καὶ δόξαν, καὶ εἴ ποτέ σε ἡ

πόλις ἀνεκήρυξε, καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφάς, μηδέ, ὅτι μέγαν τάφον ἐπί σοι ἔχωσαν, λέγε· βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα.

ΚΡΑΤ. Οὐχ ἑκὼν μέν, ἀπορρίψω δέ· τί γὰρ ἂν καὶ πάθοιμι;

ΕΡΜ. Βαβαί. σὺ δὲ ὁ ἔνοπλος τί βούλῃ; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις;

ΣΤΡΑΤ. Ὅτι ἐνίκησα, ὦ Ἑρμῆ, καὶ ἠρίστευσα, καὶ ἡ πόλις ἐτίμησέ με.

ΕΡΜ. Ἄφες ὑπὲρ γῆς τὸ τρόπαιον· ἐν ᾅδου γὰρ εἰρήνη, καὶ οὐδὲν ὅπλων δεήσει. ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος, καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκώς, ὁ ἐπὶ τῶν φροντίδων, τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος;

ΜΕΝ. Φιλόσοφός τις, ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης, καὶ τερατείας μεστός· ὥστε ἀπόδυσον καὶ τοῦτον· ὄψῃ γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ σκεπαζόμενα.

ΕΡΜ. Ἀπόθου σὺ τὸ σχῆμα πρῶτον, εἶτα καὶ ταυτὶ πάντα. ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν κομίζει, ὅσην δὲ ἀμαθίαν καὶ ἔριν καὶ κενοδοξίαν, καὶ ἐρωτήσεις ἀπόρους, καὶ λόγους ἀκανθώδεις, καὶ ἐννοίας πολυπλόκους, ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολλὴν καὶ λῆρον οὐκ ὀλίγον, καὶ ὕθλους, καὶ μικρολογίαν, νὴ Δία καὶ χρυσίον γε τουτί, καὶ ἀναισχυντίαν, καὶ ὀργὴν καὶ τρυφὴν καὶ μαλακίαν· οὐ λέληθε γάρ με, εἰ καὶ μάλα περικρύπτεις αὐτά. καὶ τὸ ψεῦδος ἀπόθου, καὶ τὸν τῦφον καὶ τὸ οἴεσθαι ἀμείνων εἶναι τῶν ἄλλων· ὡς εἴ γε ταῦτα πάντα ἔχων ἐμβαίης, ποία πεντηκόντορος δέξαιτο ἄν σε;

ΦΙΛ. Ἀποτίθεμαι τοίνυν αὐτά, ἐπείπερ οὕτω κελεύεις.

ΜΕΝ. Ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω, ὦ Ἑρμῆ, βαρύν τε ὄντα καὶ λάσιον, ὡς ὁρᾷς· πέντε μναῖ τριχῶν εἰσι τοὐλάχιστον.

ΕΡΜ. Εὖ λέγεις· ἀπόθου καὶ τοῦτον.

ΦΙΛ. Καὶ τίς ὁ ἀποκείρων ἔσται;

ΕΡΜ. Μένιππος οὑτοσί, λαβὼν πέλεκυν ναυπηγικήν, ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀποβάθρᾳ χρώμενος.

ΜΕΝ. Οὔκ, ὦ Ἑρμῆ, ἀλλὰ πρίονά μοι ἀνάδος· γελοιότερον γὰρ τοῦτο.

ΕΡΜ. Ὁ πέλεκυς ἱκανός. εὖ γε. ἀνθρωπινώτερος νῦν ἀναπέφηνας ἀποθέμενος σαυτοῦ τὴν κινάβραν.

ΜΕΝ. Βούλῃ μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων;

ΕΡΜ. Μάλιστα· ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῆρκεν, οὐκ οἶδα ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ' οὖν.

ΜΕΝ. Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει.

ΕΡΜ. Τί, ὦ Μένιππε;

ΜΕΝ. Κολακείαν, ὦ Ἑρμῆ, πολλὰ χρησίμην οὖσαν αὐτῷ ἐν τῷ βίῳ.

ΦΙΛ. Οὐκοῦν καὶ σύ, ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν καὶ παρρησίαν, καὶ τὸ ἄλυπον, καὶ τὸ γενναῖον, καὶ τὸν γέλωτα· μόνος γοῦν τῶν ἄλλων γελᾷς.

ΕΡΜ. Μηδαμῶς, ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα, καὶ πρὸς τὸν κατάπλουν χρήσιμα.

ὁ ῥήτωρ, σὺ δ' ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀπεραντολογίαν, καὶ ἀντιθέσεις, καὶ παρισώσεις, καὶ περιόδους, καὶ βαρβαρισμούς, καὶ τὰ ἄλλα βάρη τῶν λόγων.

ΡΗΤ. Ἢν ἰδού, ἀποτίθεμαι.

ΕΡΜ. Εὖ ἔχει· ὥστε λύε τὰ ἀπόγεια, τὴν ἀποβάθραν ἀνελώμεθα, ἡ ἄγκυρα ἀνεσπάσθω, πέτασον τὸ ἱστίον, εὔθυνε, ὦ πορθμεῦ, τὸ πηδάλιον· εὐπλοῶμεν. τί οἰμῴζετε, ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος;

ΦΙΛ. Ὅτι, ὦ Ἑρμῆ, ἀθάνατον ᾤμην τὴν ψυχὴν ὑπάρχειν.

ΜΕΝ. Ψεύδεται· ἄλλα γὰρ ἔοικε λυπεῖν αὐτόν.

ΕΡΜ. Τὰ ποῖα;

ΜΕΝ. Ὅτι οὐκέτι δειπνήσει πολυτελῆ δεῖπνα, οὐδὲ νύκτωρ ἐξιών, ἅπαντας λανθάνων, τῷ ἱματίῳ τὴν κεφαλὴν κατειλήσας, περίεισιν ἐν κύκλῳ τὴν πόλιν, καὶ ἕωθεν ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ ἀργύριον λήψεται· ταῦτα λυπεῖ αὐτόν.

ΦΙΛ. Σὺ γάρ, ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών;

ΜΕΝ. Πῶς, ὃς ἔσπευσα ἐπὶ τὸν θάνατον καλέσαντος οὐδενός; ἀλλὰ μεταξὺ λόγων οὐ κραυγή τις ἀκούεται ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων;

ΕΡΜ. Ναί, ὦ Μένιππε, οὐκ ἀφ' ἑνός γε χωρίου, ἀλλ' οἱ μὲν ἐς τὴν ἐκκλησίαν συνελθόντες, ἄσμενοι γελῶσι πάντες ἐπὶ τῷ Λαμπίχου θανάτῳ, καὶ ἡ γυνὴ αὐτοῦ συνέχεται πρὸς τῶν γυναικῶν, καὶ τὰ παιδία, νεογνὰ ὄντα, ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνως τοῖς λίθοις· ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα

ἐπαινοῦσιν ἐν Σικυῶνι, ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τούτῳ. καὶ νὴ Δία γε ἡ Δαμασίου μήτηρ, κωκύουσα, ἐξάρχει τοῦ θρήνου μετ' ἄλλων γυναικῶν ἐπὶ τῷ Δαμασίᾳ· σὲ δέ, ὦ Μένιππε, οὐδεὶς δακρύει, καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος.

ΜΕΝ. Οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ' ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ' ἐμοί, καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπόταν συνελθόντες θάπτωσί με.

ΕΡΜ. Γεννάδας εἶ, ὦ Μένιππε. ἀλλ' ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲν ἄπιτε πρὸς τὸ δικαστήριον εὐθεῖαν ἐκείνην προϊόντες, ἐγὼ δὲ καὶ ὁ πορθμεὺς ἄλλους μετελευσόμεθα.

ΜΕΝ. Εὐπλοεῖτε, ὦ Ἑρμῆ· προΐωμεν δὲ καὶ ἡμεῖς. τί οὖν ἔτι καὶ μέλλετε; πάντως δικασθῆναι δεήσει, καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχοὺς καὶ λίθους καὶ γῦπας· δειχθήσεται δὲ ὁ ἑκάστου βίος ἀκριβῶς.

## 3

## ΧΑΡΩΝΟΣ ΚΑΙ ΜΕΝΙΠΠΟΥ

ΧΑΡ. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα.

ΜΕΝ. Βόα, εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδιον.

ΧΑΡ. Ἀπόδος, φημί, ἀνθ' ὧν σε διεπορθμεύσαμεν.

ΜΕΝ. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων;

ΜΕΝ. Εἰ μὲν καὶ ἄλλος τις οὐκ οἶδα, ἐγὼ δ' οὐκ ἔχω.

[55]

ΧΑΡ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς.

ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σου πατάξας διαλύσω τὸ κρανίον.

ΧΑΡ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν.

ΜΕΝ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι.

ΕΡΜ. Νὴ Δί' ὠνάμην γε, εἰ μέλλω καὶ ὑπερεκτίνειν τῶν νεκρῶν.

ΧΑΡ. Οὐκ ἀποστήσομαί σου.

ΜΕΝ. Τούτου γε ἕνεκα καὶ νεωλκήσας τὸ πορθμεῖον παράμενε· ἀλλ' ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις;

ΧΑΡ. Σὺ δ' οὐκ ᾔδησθα ὡς κομίζεσθαι δέοι;

ΜΕΝ. Ἤιδη μέν, οὐκ εἶχον δέ. τί οὖν; ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν;

ΧΑΡ. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι;

ΜΕΝ. Οὐ προῖκα, ὦ βέλτιστε· καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης συνεπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν.

ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς πορθμέα· τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ· οὐ θέμις ἄλλως γενέσθαι.

ΜΕΝ. Οὐκοῦν ἄπαγέ με αὖθις ἐς τὸν βίον.

ΧΑΡ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω.

ΜΕΝ. Μὴ ἐνόχλει οὖν.

ΧΑΡ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις.

ΜΕΝ. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον.

ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες;

οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων οἰμῳζόντων ἐκείνων.

ΕΡΜ. Ἀγνοεῖς, ὦ Χάρων, ὅντινα ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος.

ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω ποτέ—

ΜΕΝ. Ἂν λάβῃς, ὦ βέλτιστε· δὶς δὲ οὐκ ἂν λάβοις.

## 4

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΑΙΑΚΟΥ

ΜΕΝ. Πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακέ, περιήγησαί μοι τὰ ἐν ᾅδου πάντα.

ΑΙΑΚ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα· ὅσα μέντοι κεφαλαιώδη, μάνθανε· οὑτοσὶ μὲν ὅτι Κέρβερός ἐστιν οἶσθα, καὶ τὸν πορθμέα τοῦτον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑόρακας εἰσιών.

ΜΕΝ. Οἶδα ταῦτα καὶ σέ, ὅτι πυλωρὸς εἶ, καὶ τὸν βασιλέα εἶδον καὶ τὰς Ἐρινῦς· τοὺς δὲ ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ἐνδόξους αὐτῶν.

ΑΙΑΚ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δὲ Ἀχιλλεύς, οὗτος δὲ Ἰδομενεὺς πλησίον, οὗτος δὲ Ὀδυσσεύς, εἶτα Αἴας καὶ Διομήδης καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων.

ΜΕΝ. Βαβαί, ὦ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται ἄγνωστα καὶ ἄμορφα, κόνις πάντα καὶ λῆρος πολύς, ἀμενηνὰ ὡς ἀληθῶς κάρηνα. οὗτος δέ, ὦ Αἰακέ, τίς ἐστι;

ΑΙΑΚ. Κῦρός ἐστιν· οὗτος δὲ Κροῖσος, ὁ δ' ὑπὲρ

αὐτὸν Σαρδανάπαλλος, ὁ δ' ὑπὲρ τούτους Μίδας, ἐκεῖνος δὲ Ξέρξης.

ΜΕΝ. Εἶτα σέ, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε ζευγνύντα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἷος δὲ καὶ ὁ Κροῖσός ἐστι. τὸν Σαρδανάπαλλον δέ, ὦ Αἰακέ, πατάξαι μοι ἐπὶ κόρρης ἐπίτρεψον.

ΑΙΑΚ. Μηδαμῶς· διαθρύπτεις γὰρ αὐτοῦ τὸ κρανίον γυναικεῖον ὄν.

ΜΕΝ. Ἀλλὰ προσπτύσω γε πάντως ἀνδρογύνῳ γε ὄντι.

ΑΙΑΚ. Βούλῃ σοὶ ἐπιδείξω καὶ τοὺς σοφούς;

ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ. Πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστί.

ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε ἢ Ἄπολλον ἢ ὅ τι ἂν ἐθέλῃς.

ΠΥΘ. Νὴ Δία καὶ σύ γε, ὦ Μένιππε.

ΜΕΝ. Οὐκέτι χρυσοῦς ὁ μηρός ἐστί σοι;

ΠΥΘ. Οὐ γάρ· ἀλλὰ φέρε ἴδω εἴ τί σοι ἐδώδιμον ἡ πήρα ἔχει.

ΜΕΝ. Κυάμους, ὦγαθέ· ὥστε οὐ τοῦτό σοι ἐδώδιμον.

ΠΥΘ. Δὸς μόνον· ἄλλα παρὰ νεκροῖς δόγματα· ἔμαθον γάρ, ὡς οὐδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε.

ΑΙΑΚ. Οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου καὶ Θαλῆς ἐκεῖνος καὶ παρ' αὐτοὺς Πιττακὸς καὶ οἱ ἄλλοι· ἑπτὰ δὲ πάντες εἰσίν, ὡς ὁρᾷς.

ΜΕΝ. Ἄλυποι, ὦ Αἰακέ, οὗτοι μόνοι καὶ φαιδροὶ τῶν ἄλλων. ὁ δὲ σποδοῦ πλέως ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ τὰς φλυκταίνας ἐξηνθηκώς, τίς ἐστιν;

ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών.

ΜΕΝ. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυτὸν ἐς τοὺς κρατῆρας ἐνέβαλες;

ΕΜΠ. Μελαγχολία τις, ὦ Μένιππε.

ΜΕΝ. Οὐ μὰ Δί', ἀλλὰ κενοδοξία καὶ τῦφος καὶ πολλὴ κόρυζα, ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν οὐκ ἀνάξιον ὄντα· ἀλλ' οὐδέν σε τὸ σόφισμα ὤνησεν· ἐφωράθης γὰρ τεθνώς. ὁ Σωκράτης δέ, ὦ Αἰακέ, ποῦ ποτε ἄρα ἐστίν;

ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά.

ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτόν, εἴ που ἐνθάδε ἐστίν.

ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν;

ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα.

ΑΙΑΚ. Τὸν σιμὸν λέγω.

ΜΕΝ. Καὶ τοῦτο ὅμοιον· σιμοὶ γὰρ ἅπαντες.

ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε;

ΜΕΝ. Καὶ μάλα, ὦ Σώκρατες.

ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις;

ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι, καὶ τά γε σχήματα αὐτὰ καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι.

ΣΩΚ. Μάλα πολλοὺς ἑόρακα.

ΜΕΝ. Ἀλλὰ ἑόρακας, οἶμαι, οἷος ἧκε παρὰ σοὶ Ἀρίστιππος καὶ Πλάτων αὐτός, ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών.

ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν;

ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ τά γε τοιαῦτα· πάντες γοῦν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι, καὶ πάντα ἐγνωκέναι, καὶ ταῦτα—δεῖ γάρ, οἶμαι, τἀληθῆ λέγειν—οὐδὲν εἰδότα.

ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς, οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι.

ΜΕΝ. Τίνες δέ εἰσιν οὗτοι οἱ περὶ σέ;

ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος καὶ ὁ τοῦ Κλεινίου.

ΜΕΝ. Εὖ γε, ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν.

ΣΩΚ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ.

ΜΕΝ. Μὰ Δί', ἐπεὶ παρὰ τὸν Κροῖσον καὶ τὸν Σαρδανάπαλλον ἄπειμι πλησίον οἰκήσων αὐτῶν· ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι οἰμῳζόντων ἀκούων.

ΑΙΑΚ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ λοιπὰ δ' ἐσαῦθις ὄψῃ, ὦ Μένιππε.

ΜΕΝ. Ἄπιθι· καὶ ταυτὶ γὰρ ἱκανά, ὦ Αἰακέ.

## 5

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΤΑΝΤΑΛΟΥ

ΜΕΝ. Τί κλαίεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ ἐπὶ τῇ λίμνῃ ἑστώς;

ΤΑΝ. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τῆς δίψης.

ΜΕΝ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί;

[60]

ΤΑΝ. Οὐδὲν ὄφελος, εἰ ἐπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με· ἢν δέ ποτε καὶ ἀρύσωμαι καὶ προσενέγκω τῷ στόματι, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαρρυέν, οὐκ οἶδ' ὅπως, αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μοι.

ΜΕΝ. Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε. ἀτὰρ εἰπέ μοι, τί δαὶ καὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις, αλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πεινῆν καὶ διψῆν ἐδύνατο, σὺ δὲ ἡ ψυχὴ πῶς ἂν ἔτι ἢ διψῴης ἢ πίνοις;

ΤΑΝ. Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν τὴν ψυχὴν ὡς σῶμα οὖσαν.

ΜΕΝ. Ἀλλὰ τοῦτο μὲν οὕτως πιστεύσομεν, ἐπεὶ φῂς κολάζεσθαι τῇ δίψῃ. τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδοικας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ ὁρῶ γὰρ ἄλλον ᾅδην μετὰ τοῦτον, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον.

ΤΑΝ. Ὀρθῶς μὲν λέγεις· καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν μηδὲν δεόμενον.

ΜΕΝ. Ληρεῖς, ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου νὴ Δία, ὅστις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος.

ΤΑΝ. Οὐδὲ τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον.

ΜΕΝ. Θάρρει, ὦ Τάνταλε, ὡς οὔτε σὺ οὔτε ἄλλος πίεται τῶν νεκρῶν· ἀδύνατον γάρ· καίτοι οὐ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

## 6

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΥ

ΜΕΝ. Ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, Ἑρμῆ; ξενάγησόν με νέηλυν ὄντα.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε· πλὴν κατ' ἐκεῖνο ἀπόβλεψον, ἐπὶ τὰ δεξιά, ἔνθα ὁ Ὑάκινθός τέ ἐστι καὶ Νάρκισσος καὶ Νιρεὺς καὶ Ἀχιλλεὺς καὶ Τυρὼ καὶ Ἑλένη καὶ Λήδα καὶ ὅλως τὰ ἀρχαῖα πάντα κάλλη.

ΜΕΝ. Ὀστᾶ μόνα ὁρῶ καὶ κρανία τῶν σαρκῶν γυμνά, ὅμοια τὰ πολλά.

ΕΡΜ. Καὶ μὴν ἐκεῖνά ἐστιν ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν.

ΜΕΝ. Ὅμως τὴν Ἑλένην μοι δεῖξον· οὐ γὰρ ἂν διαγνοίην ἔγωγε.

ΕΡΜ. Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν.

ΜΕΝ. Εἶτα διὰ τοῦτο αἱ χίλιαι νῆες ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος, καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν;

ΕΡΜ. Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα· ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι

τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·

ἐπεὶ καὶ τὰ ἄνθη ξηρὰ ὄντα εἴ τις βλέποι ἀποβεβληκότα τὴν βαφήν, ἄμορφα δῆλον ὅτι αὐτῷ δόξει, ἐν ᾧ μέντοι ἀνθεῖ καὶ ἔχει τὴν χρόαν, κάλλιστά ἐστιν.

ΜΕΝ. Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω, εἰ οὐ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγοχρονίου καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι. ὥστε σὺ μὲν ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν, ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.

7

## ΠΛΟΥΤΩΝ Η ΚΑΤΑ ΜΕΝΙΠΠΟΥ

ΚΡΟΙΣ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν ἐς ἕτερον τόπον.

ΠΛΟΥΤ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν;

ΚΡΟΙΣ. Ἐπειδὰν ἡμεῖς οἰμῴζωμεν καὶ στένωμεν ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ Κροῖσος τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν, ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς, καὶ ὅλως λυπηρός ἐστι.

ΠΛΟΥΤ. Τί ταῦτά φασιν, ὦ Μένιππε;

ΜΕΝ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω· τοιγαροῦν χαίρω ἀνιῶν αὐτούς.

ΠΛΟΥΤ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι.

ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς;

ΠΛΟΥΤ. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθέλοιμι στασιάζειν ὑμᾶς.

ΜΕΝ. Καὶ μήν, ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσσυρίων, οὕτω γιγνώσκετε ὡς οὐδὲ παυσομένου μου· ὅποι γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ κατᾴδων καὶ καταγελῶν.

ΚΡΟΙΣ. Ταῦτα οὐχ ὕβρις;

ΜΕΝ. Οὔκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώξεσθε πάντων ἐκείνων ἀφῃρημένοι.

ΚΡΟΙΣ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων.

ΜΙΔ. Ὅσου μὲν ἐγὼ χρυσοῦ.

ΣΑΡΔ. Ὅσης δὲ ἐγὼ τρυφῆς.

ΜΕΝ. Εὖ γε, οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τὸ γνῶθι σαυτὸν πολλάκις ἐπᾴσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

## 8

## ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΧΟΥ ΚΑΙ ΤΡΟΦΩΝΙΟΥ

ΜΕΝ. Σφὼ μέντοι, ὦ Τροφώνιε καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε καὶ μάντεις εἶναι δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεοὺς ὑμᾶς ὑπειλήφασιν εἶναι.

ΑΜΦΙΛ. Τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν;

ΜΕΝ. Ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τὰ μέλλοντα προειδότες καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις.

ΤΡΟΦ. Ὦ Μένιππε, Ἀμφίλοχος μὲν οὗτος ἂν εἰδείη ὅ τι αὐτῷ ἀποκριτέον ὑπὲρ αὐτοῦ, ἐγὼ δὲ ἥρως εἰμὶ καὶ μαντεύομαι, ἤν τις κατέλθῃ παρ' ἐμέ. σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τὸ παράπαν· οὐ γὰρ ἠπίστεις ἂν τούτοις.

ΜΕΝ. Τί φῄς; εἰ μὴ γὰρ ἐς Λεβάδειαν παρῆλθον, καὶ ἐσταλμένος ταῖς ὀθόναις γελοίως, μᾶζαν ἐν ταῖν χεροῖν ἔχων, εἰσείρπυσα διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἠδυνάμην εἰδέναι, ὅτι νεκρὸς εἶ ὥσπερ ἡμεῖς μόνῃ τῇ γοητείᾳ διαφέρων; ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δαὶ ὁ ἥρως ἐστίν; ἀγνοῶ γάρ.

ΤΡΟΦ. Ἐξ ἀνθρώπονυ τι καὶ θεοῦ σύνθετον.

ΜΕΝ. Ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε θεός, καὶ συναμφότερόν ἐστι; νῦν οὖν ποῦ σου τὸ θεῶν ἐκεῖνο ἡμίτομον ἀπελήλυθε;

ΤΡΟΦ. Χρῇ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ.

ΜΕΝ. Οὐκ οἶδα, ὦ Τροφώνιε, ὅ τι καὶ λέγεις· ὅτι μέντοι ὅλος εἶ νεκρὸς ἀκριβῶς ὁρῶ.

## 9

## ΕΡΜΟΥ ΚΑΙ ΧΑΡΩΝΟΣ

ΕΡΜ. Λογισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν.

[65]

ΧΑΡ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὡρίσθαι καὶ ἀπραγμονέστερον.

ΕΡΜ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν.

ΧΑΡ. Πολλοῦ λέγεις.

ΕΡΜ. Νὴ τὸν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν.

ΧΑΡ. Τίθει πέντε δραχμὰς καὶ ὀβολοὺς δύο.

ΕΡΜ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

ΧΑΡ. Καὶ τούτους προστίθει.

ΕΡΜ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους καὶ καλῴδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα.

ΧΑΡ. Καὶ ἄξια ταῦτα ὠνήσω.

ΕΡΜ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτα ἀποδώσειν φής;

ΧΑΡ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀδύνατον, ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς, ἐνέσται τότε ἀποκερδᾶναι παραλογιζόμενον τὰ πορθμεῖα.

ΕΡΜ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἀπὸ τούτων ἀποληψόμενος;

ΧΑΡ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. νῦν δὲ ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ.

ΕΡΜ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. ἀλλ' οἱ μὲν παλαιοί, ὦ Χάρων, οἶσθα οἷοι παρεγίγνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανών, ἢ ὑπὸ τῆς γυναικός, ἢ

ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα καὶ τὰ σκέλη, ὠχροὶ ἅπαντες καὶ ἀγεννεῖς, οὐδὲν ὅμοιοι ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι.

ΧΑΡ. Πάνυ γὰρ περιμάχητά ἐστι ταῦτα.

ΕΡΜ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

## 10

## ΠΛΟΥΤΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ

ΠΛΟΥΤ. Τὸν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσίν, οἱ δὲ τὸν κλῆρον θηρῶντες πεντακισμύριοι;

ΕΡΜ. Ναί, τὸν Σικυώνιον φῄς. τί οὖν;

ΠΛΟΥΤ. Ἐκεῖνον μέν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἰ δὲ οἷόν τε ἦν, καὶ ἔτι πλείω, τοὺς δὲ κόλακας αὐτοῦ Χαρῖνον τὸν νέον καὶ Δάμωνα καὶ τοὺς ἄλλους κατάσπασον ἐφεξῆς ἅπαντας.

ΕΡΜ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον.

ΠΛΟΥΤ. Οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον· τί γὰρ ἐκεῖνοι παθόντες εὔχονται ἀποθανεῖν ἐκεῖνον, ἢ τῶν χρημάτων ἀντιποιοῦνται οὐδὲν προσήκοντες; ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, καὶ τὰ τοιαῦτα εὐχόμενοι ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ, καὶ νοσοῦντος ἃ μὲν βουλεύονται πᾶσι πρόδηλα, θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ, καὶ ὅλως ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. διὰ ταῦτα ὁ μὲν ἔστω ἀθάνατος, οἱ δὲ προαπιόντων αὐτοῦ μάτην ἐπιχανόντες.

ΕΡΜ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες· πολλὰ κἀκεῖνος εὖ μάλα ψυχαγωγεῖ αὐτοὺς καὶ ἐλπίζειν ποιεῖ, καὶ ὅλως ἀεὶ ἀποθανόντι ἐοικὼς ἔρρωται πολὺ μᾶλλον τῶν νέων. οἱ δὲ ἤδη τὸν κλῆρον ἐν σφίσι διῃρημένοι βόσκονται ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες.

ΠΛΟΥΤ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας ὥσπερ Ἰόλεως ἀνηβησάτω, οἱ δὲ ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες ἡκόντων ἤδη κακοὶ κακῶς ἀποθανόντες.

ΕΡΜ. Ἀμέλει, ὦ Πλούτων· μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς· ἑπτὰ δέ, οἶμαι, εἰσί.

ΠΛΟΥΤ. Κατάσπα, ὁ δὲ παραπέμψει ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

## 11

## ΤΕΡΨΙΩΝΟΣ ΚΑΙ ΠΛΟΥΤΩΝΟΣ

ΤΕΡΨ. Τοῦτο, ὦ Πλούτων, δίκαιον, ἐμὲ μὲν τεθνάναι τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἐνενήκοντα γέροντα Θούκριτον ζῆν ἔτι;

ΠΛΟΥΤ. Δικαιότατον μὲν οὖν, ὦ Τερψίων, εἴ γε ὁ μὲν ζῇ μηδένα εὐχόμενος ἀποθανεῖν τῶν φίλων, σὺ δὲ παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ περιμένων τὸν κλῆρον.

ΤΕΡΨ. Οὐ γὰρ ἐχρῆν γέροντα ὄντα, καὶ μηκέτι χρήσασθαι τῷ πλούτῳ αὐτὸν δυνάμενον, ἀπελθεῖν τοῦ βίου παραχωρήσαντα τοῖς νέοις;

ΠΛΟΥΤ. Καινά, ὦ Τερψίων, νομοθετεῖς, τὸν μηκέτι

τῷ πλούτῳ χρήσασθαι δυνάμενον πρὸς ἡδονὴν ἀποθνῄσκειν· τὸ δὲ ἄλλως ἡ Μοῖρα καὶ ἡ φύσις διέταξεν.

ΤΕΡΨ. Οὐκοῦν ταύτης αἰτιῶμαι τῆς διατάξεως· ἐχρῆν γὰρ τὸ πρᾶγμα ἑξῆς πως γενέσθαι, τὸν πρεσβύτερον πρότερον, καὶ μετὰ τοῦτον ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτόν, ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπέργηρων, ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόλις ὁρῶντα, οἰκέταις τέτταρσιν ἐπικεκυφότα, κορύζης μὲν τὴν ῥῖνα μεστὴν ἔχοντα, λήμης δὲ τοὺς ὀφθαλμούς, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνῄσκειν δὲ καλλίστους καὶ ἐρρωμενεστάτους νεανίσκους· ἄνω γὰρ ποταμῶν τοῦτό γε· ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἐνίους ἐθεράπευον. νῦν δὲ τὸ τῆς παροιμίας, ἡ ἅμαξα τὸν βοῦν.

ΠΛΟΥΤ. Ταῦτα μέν, ὦ Τερψίων, πολὺ συνετώτερα γίνεται ἢ καὶ σοὶ δοκεῖ. καὶ ὑμεῖς τί παθόντες ἀλλοτρίοις ἐπιχαίνετε, καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε φέροντες ὑμεῖς αὐτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε πρὸ ἐκείνων κατορυττόμενοι, καὶ τὸ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίγνεται· ὅσῳ γὰρ μᾶλλον ὑμεῖς ἐκείνους ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἥδιον προαποθανεῖν ὑμᾶς αὐτῶν. καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε γραῶν καὶ γερόντων ἐρῶντες, καὶ μάλιστα εἰ ἄτεκνοι εἶεν οἱ δὲ ἔντεκνοι ὑμῖν ἀφιλεῖς. καίτοι πολλοὶ ἤδη τῶν ἐρωμένων συνέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν· εἶτα ἐν ταῖς διαθήκαις ἀπεκλῄσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες,

ὁ δὲ παῖς καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων, οἱ δὲ ὑποπρίουσι τοὺς ὀδόντας.

ΤΕΡΨ. Ἀληθῆ ταῦτα φῄς· ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν, ἀεὶ τεθνήξεσθαι δοκῶν, καὶ ὁπότε εἰσίοιμι ὑποστένων, καὶ μύχιόν τι καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελὴς ὑποκρώζων, ὥστ' ἔγωγε αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ, ἔπεμπόν τε πολλά, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρίᾳ, καὶ τὰ πολλὰ ὑπὸ φροντίδων ἄγρυπνος ἐκείμην ἀριθμῶν ἕκαστα καὶ διατάττων. ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία καὶ φροντίδες· ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν ἐφειστήκει θαπτομένῳ πρῴην ἐπιγελῶν.

ΠΛΟΥΤ. Εὖ γε, ὦ Θούκριτε, ζῴης ἐπὶ μήκιστον πλουτῶν ἅμα καὶ τῶν τοιούτων καταγελῶν, μηδὲ πρότερόν γε σὺ ἀποθάνοις ἢ προπέμψας πάντας τοὺς κόλακας.

ΤΕΡΨ. Τοῦτο μέν, ὦ Πλούτων, καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαροιάδης προτεθνήξεται Θουκρίτου.

ΠΛΟΥΤ. Θάρρει, ὦ Τερψίων· καὶ Φείδων γὰρ καὶ Μέλανθος καὶ ὅλως ἅπαντες προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς φροντίσιν.

ΤΕΡΨ. Ἐπαινῶ ταῦτα. ζῴης ἐπὶ μήκιστον, ὦ Θούκριτε.

## 12

## ΖΗΝΟΦΑΝΤΟΥ ΚΑΙ ΚΑΛΛΙΔΗΜΙΔΟΥ

ΖΗΝ. Σὺ δέ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ ὅτι παράσιτος ὢν Δεινίον πλέον τοῦ ἱκανοῦ

ἐμφαγὼν ἀπεπνίγην, οἶσθα· παρῆσθα γὰρ ἀποθνῄσκοντί μοι.

ΚΑΛ. Παρῆν, ὦ Ζηνόφαντε· τὸ δὲ ἐμὸν παράδοξόν τι ἐγένετο. οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα;

ΖΗΝ. Τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδη συνόντα.

ΚΑΛ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενον ἐπ' ἐμοὶ τεθνήξεσθαι. ἐπεὶ δὲ τὸ πρᾶγμα εἰς μήκιστον ἐπεγίγνετο καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, σύντομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν,—πίνει δὲ ἐπιεικῶς ζωρότερον—ἐμβαλόντα εἰς κύλικα ἕτοιμον ἔχειν αὐτὸ καὶ ἐπιδοῦναι αὐτῷ· εἰ δὲ τοῦτο ποιήσειεν, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν.

ΖΗΝ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας.

ΚΑΛ. Ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο δὴ ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δὲ ἑτέραν ἐμοί, σφαλεὶς οὐκ οἶδ' ὅπως ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἔδωκεν· εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς, ὦ Ζηνόφαντε; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν.

ΖΗΝ. Ἀστεῖα γάρ, ὦ Καλλιδημίδη, πέπονθας. ὁ γέρων δὲ τί πρὸς ταῦτα;

ΚΑΛ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον,

εἶτα συνείς, οἶμαι, τὸ γεγενημένον ἐγέλα καὶ αὐτός, οἷά γε ὁ οἰνοχόος εἴργασται.

ΖΗΝ. Ἀλλ' οὐδὲ σὲ τὴν σύντομον ἐχρῆν τραπέσθαι· ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερον.

## 13

## ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ

ΚΡΑΤ. Μοίριχον τὸν πλούσιον ἐγίγνωσκες, ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα, οὗ ἀνεψιὸς Ἀριστέας, πλούσιος καὶ αὐτὸς ὤν; ὃς τὸ Ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν,

ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ.

ΔΙΟΓ. Τίνος ἕνεκα, ὦ Κράτης;

ΚΡΑΤ. Ἐθεράπευον ἀλλήλω τοῦ κλήρου ἕνεκα ἑκάτερος ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας εἰς τὸ φανερὸν ἐτίθεντο, Ἀριστέαν μὲν ὁ Μοίριχος, εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων, Μοίριχον δὲ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. ταῦτα μὲν ἐγέγραπτο, οἱ δ' ἐθεράπευον ὑπερβαλλόμενοι ἀλλήλω τῇ κολακείᾳ· καὶ οἱ μάντεις, οἵ τε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον καὶ οἱ ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτὸς ἄρτι μὲν Ἀριστέᾳ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ, καὶ τὰ τάλαντα ποτὲ μὲν ἐπ' ἐκεῖνον, νῦν δ' ἐπὶ τοῦτον ἔρρεπε.

ΔΙΟΓ. Τί οὖν πέρας ἐγένετο, ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον.

ΚΡΑΤ. Ἄμφω τεθνᾶσιν ἐν μιᾷ ἡμέρᾳ, οἱ δὲ κλῆροι

εἰς Εὐνόμιον καὶ Θρασυκλέα περιῆλθον, ἄμφω συγγενεῖς ὄντας, οὐδεπώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα· διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος εἰς Κίρραν, κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι ἀνετράπησαν.

ΔΙΟΓ. Εὖ ἐποίησαν. ἡμεῖς δὲ ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων· οὔτε ἐγώ ποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ—εἶχε δὲ πάνυ καρτερὰν ἐκ κοτίνου ποιησάμενος—οὔτε οἶμαι σὺ ὁ Κράτης ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα, καὶ τὸν πίθον, καὶ τὴν πήραν, χοίνικας δύο θέρμων ἔχουσαν.

ΚΡΑΤ. Οὐδὲν γάρ μοι τούτων ἔδει, ἀλλ' οὐδὲ σοί, ὦ Διόγενες· ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς.

ΔΙΟΓ. Τίνα ταῦτα φής;

ΚΡΑΤ. Σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν, ἐλευθερίαν.

ΔΙΟΓ. Νὴ Δία, μέμνημαι καὶ τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρὰ Ἀντισθένους καὶ σοὶ ἔτι πλείω καταλιπών.

ΚΡΑΤ. Ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς κληρονομήσειν προσδοκῶν, εἰς δὲ τὸ χρυσίον πάντες ἔβλεπον.

ΔΙΟΓ. Εἰκότως· οὐ γὰρ εἶχον ὅπως δέξαιντο τὰ τοιαῦτα παρ' ἡμῶν διερρυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαπρὰ τῶν βαλαντίων· ὥστε εἴ ποτε καὶ ἐμβάλοι τις εἰς αὐτοὺς ἢ σοφίαν ἢ παρρησίαν ἢ ἀλήθειαν, ἐξέπιπτεν

εὐθὺς καὶ διέρρει, τοῦ πυθμένος στέγειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι εἰς τὸν τετρημένον πίθον ἐπαντλοῦσαι· τὸ δὲ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον.

ΚΡΑΤ. Οὐκοῦν ἡμεῖς μὲν ἕξομεν κἀνταῦθα τὸν πλοῦτον, οἱ δὲ ὀβολὸν ἥξουσι κομίζοντες, καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

## 14

## ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ ΚΑΙ ΣΚΙΠΙΩΝΟΣ

ΑΛΕΞ. Ἐμὲ δεῖ προκεκρίσθαι σοῦ, ὦ Λίβυ· ἀμείνων γάρ εἰμι.

ΑΝ. Οὐ μὲν οὖν, ἀλλ' ἐμέ.

ΑΛΕΞ. Οὐκοῦν ὁ Μίνως δικασάτω.

ΜΙΝ. Τίνες δὲ ἐστέ;

ΑΛΕΞ. Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος, ἐγὼ δὲ Ἀλέξανδρος ὁ Φιλίππου.

ΜΙΝ. Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις;

ΑΛΕΞ. Περὶ προεδρίας· φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ, ἐγὼ δέ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια.

ΜΙΝ. Οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω, σὺ δὲ πρῶτος ὁ Λίβυς λέγε.

ΑΝ. Ἓν μὲν τοῦτο, ὦ Μίνως, ὠνάμην, ὅτι ἐνταῦθα καὶ τὴν Ἑλλάδα φωνὴν ἐξέμαθον· ὥστε οὐδὲ ταύτῃ

[74]

πλέον οὗτος ἂν ἐνέγκαιτό μου. φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες, ὅμως ἐπὶ μέγα προεχώρησαν, δύναμίν τε περιβαλόμενοι αὐτοὶ ἑαυτοῖς, καὶ ἄξιοι δόξαντες ἀρχῆς. ἔγωγ' οὖν μετ' ὀλίγων ἐξορμήσας εἰς τὴν Ἰβηρίαν, τὸ πρῶτον ὕπαρχος ὢν τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην ἄριστος κριθείς, καὶ τούς τε Κελτίβηρας εἷλον, καὶ Γαλατῶν ἐκράτησα τῶν ἑσπερίων, καὶ τὰ μεγάλα ὄρη ὑπερβὰς τὰ περὶ τὸν Ἠριδανὸν ἅπαντα κατέδραμον, καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις, καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην, καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον, καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι, καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. καὶ ταῦτα πάντα ἔπραξα, οὔτε Ἄμμωνος υἱὸς ὀνομαζόμενος, οὔτε θεὸς εἶναι προσποιούμενος ἢ ἐνύπνια τῆς μητρὸς διεξιών, ἀλλ' ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος, καὶ στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμενος, οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμενος, ὑποφεύγοντας πρὶν διώκειν τινά, καὶ τῷ τολμήσαντι παραδιδόντας εὐθὺς τὴν νίκην. Ἀλέξανδρος δὲ πατρῴαν ἀρχὴν παραλαβὼν ηὔξησε, καὶ παρὰ πολὺ ἐξέτεινε, χρησάμενος τῇ τῆς τύχης ὁρμῇ. ἐπεὶ δ' οὖν ἐνίκησέ τε, καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρῴων, προσκυνεῖσθαι ἠξίου, καὶ εἰς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν ἑαυτόν, καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους, καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπ' ἴσης τῆς πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο,

τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῇ Λιβύῃ, ταχέως ὑπήκουσα, καὶ ἰδιώτην ἐμαυτὸν παρέσχον, καὶ καταδικασθεὶς οὐ χαλεπῶς ἔφερον τὸ πρᾶγμα. καὶ ταῦτα ἔπραξα βάρβαρος ὤν, καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς, καὶ οὔτε Ὅμηρον ὥσπερ οὗτος ῥαψῳδῶν, οὔτε ὑπ' Ἀριστοτέλους τοῦ σοφιστοῦ παιδευθείς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. ταῦτά ἐστιν ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. εἰ δέ ἐστι καλλίων οὑτοσί, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνά, οὐ μὴν διὰ τοῦτο ἀμείνων δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρός, τῇ γνώμῃ πλέον ἢ τῇ τύχῃ κεχρημένου.

ΜΙΝ. Ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον, οὐδὲ ὡς Λίβυν εἰκὸς ἦν, ὑπὲρ αὐτοῦ. σὺ δέ, ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φής;

ΑΛΕΞ. Ἐχρῆν μέν, ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασὺν ἀποκρίνασθαι· ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεύς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο. ὅμως δὲ ὅρα εἰ κατ' ὀλίγον αὐτοῦ διέφερον, ὃς νέος ὢν ἔτι παρελθὼν ἐπὶ τὰ πράγματα, καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον, καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, κᾆτα φοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλείᾳ, καὶ στρατηγὸς ὑπ' αὐτῶν χειροτονηθείς, οὐκ ἠξίωσα ἀγαπᾶν ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ δεινὸν ἡγησάμενος, εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων ἐσέβαλον εἰς τὴν Ἀσίαν, καὶ ἐπί τε Γρανικῷ ἐκράτησα μεγάλῃ μάχῃ, καὶ τὴν Λυδίαν λαβὼν καὶ Ἰωνίαν καὶ Φρυγίαν, καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος, ἦλθον ἐπὶ Ἰσσόν, ἔνθα Δαρεῖος ὑπέμεινε μυριάδας πολλὰς

στρατοῦ ἄγων. καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῖν νεκροὺς ἐν μιᾷ ἡμέρᾳ κατέπεμψα· οὔ φησι γοῦν ὁ πορθμεὺς διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας πηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. καὶ ταῦτα διέπραττον αὐτὸς προκινδυνεύων καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοι μὴ τὰ ἐν Τύρῳ μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ καὶ μέχρι Ἰνδῶν ἦλθον καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς, καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον, καὶ Πῶρον ἐχειρωσάμην, καὶ ὑπερβὰς τὸν Τάναϊν Σκύθας οὐκ εὐκαταφρονήτους ἄνδρας ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ, καὶ τοὺς φίλους εὖ ἐποίησα καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι πρὸς τὸ μέγεθος τῶν πραγμάτων καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ. τὸ δ' οὖν τελευταῖον, ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ ὢν παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν πανουργότατον καὶ ὠμότατον ὄντα· ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν ὅτι οὐκ ἰσχύι, ἀλλὰ πονηρίᾳ καὶ ἀπιστίᾳ καὶ δόλοις, νόμιμον δὲ ἢ προφανὲς οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφήν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίει αὐτός. ἐγὼ δὲ εἰ μὴ μικρὰ τὰ ἑσπέρια δόξας ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα, Ἰταλίαν ἀναιμωτὶ λαβών, καὶ Λιβύην καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος; ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα, τρέμοντα ἤδη καὶ δεσπότην ὁμολογοῦντα. εἴρηκα· σὺ δέ, ὦ Μίνως, δίκαζε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα.

ΣΚΙΠ. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς.

ΜΙΝ. Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς;

ΣΚΙΠ. Ἰταλιώτης Σκιπίων στρατηγός, ὁ καθελὼν Καρχηδόνα καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις.

ΜΙΝ. Τί οὖν καὶ σὺ ἐρεῖς;

ΣΚΙΠ. Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦ δὲ Ἀννίβου ἀμείνων, ὃς ἐδίωξα νικήσας αὐτὸν καὶ φυγεῖν κατηνάγκασα ἀτίμως. πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ οὐδὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς ἐμαυτὸν παραβάλλεσθαι ἀξιῶ;

ΜΙΝ. Νὴ Δί' εἰκότα φής, ὦ Σκιπίων· ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ σύ, εἶτα, εἰ δοκεῖ, τρίτος Ἀννίβας οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

## 15

## ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ

ΔΙΟΓ. Τί τοῦτο, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας ὥσπερ καὶ ἡμεῖς ἅπαντες;

ΑΛΕΞ. Ὁρᾷς, ὦ Διόγενες· οὐ παράδοξον δέ, εἰ ἄνθρωπος ὢν ἀπέθανον.

ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο λέγων ἑαυτοῦ σε εἶναι, σὺ δὲ Φιλίππου ἄρα ἦσθα;

ΑΛΕΞ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκη Ἄμμωνος ὤν.

ΔΙΟΓ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγετο, δράκοντά σοι πατέρα εἶναι, τὸν δὲ Φίλιππον ἐξηπατῆσθαι οἰόμενον ἑαυτοῦ σε εἶναι.

ΑΛΕΞ. Καγὼ ταῦτα ἤκουον ὥσπερ σύ, νῦν δὲ ὁρῶ, ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον.

ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ἐφοβοῦντο θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας;

ΑΛΕΞ. Οὐκ οἶδα, ὦ Διόγενες· οὐ γὰρ ἔφθασα ἐπισκήψας τι περὶ αὐτῆς, πλὴν τοῦτο μόνον, ὅτι ἀποθνῄσκων Περδίκκᾳ τὸν δακτύλιον ἔδωκα. ἀλλὰ τί γελᾷς, ὦ Διόγενες;

ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλάς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες, καὶ προστάτην αἱρούμενοι καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες, καὶ οἰκοδομοῦντές σοι νεώς, καὶ θύοντες ὡς δράκοντος υἱῷ. ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν;

ΑΛΕΞ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τριακοστὴν ταύτην ἡμέραν, ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστής, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσίν, εἰς Αἴγυπτον ἀπαγαγὼν θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν.

ΔΙΟΓ. Ἆρ' οὐχὶ γελάσομαι οὖν, ὦ Ἀλέξανδρε, ὁρῶν καὶ ἐν ᾅδου ἔτι σε μωραίνοντα καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενήσεσθαι; ἀλλὰ ταῦτα μέν, ὦ θειότατε, μὴ ἐλπίσῃς· οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην καὶ εἰς τὸ εἴσω τοῦ στομίου παρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακός, οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος. ἐκεῖνο δέ γε ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις, ὁπόταν ἐννοήσῃς, ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον,

καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν καὶ δόξαν, καὶ τὸ ἐπίσημον εἶναι ἐξελαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλήν, καὶ πορφυρίδα φοροῦντα. οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ μάταιε; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε μὴ οἴεσθαι βέβαια εἶναι, τὰ παρὰ τῆς τύχης;

ΑΛΕΞ. Ὁ σοφός; ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν. ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ᾔτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν, ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων καὶ ἐπαινῶν ἄλλοτε μὲν πρὸς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄλλοτε δὲ εἰς τὰς πράξεις καὶ τὸν πλοῦτον. καὶ γὰρ αὖ καὶ τοῦτο ἀγαθὸν ἡγεῖτο εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἄνθρωπος, καὶ τεχνίτης. ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς ἐκείνοις, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν.

ΔΙΟΓ. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι. ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος οὐ φύεται, πίε τὸ Λήθης ὕδωρ, καὶ αὖθις πίε καὶ πολλάκις· οὕτως γὰρ παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ Κλεῖτον ἐκεῖνον ὁρῶ καὶ Καλλισθένην καὶ ἄλλους πολλοὺς ἐπί σε ὁρμῶντας, ὡς διασπάσωνται καὶ ἀμύνωνταί σε ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε καὶ πῖνε πολλάκις, ὡς ἔφην.

## 16

## ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ

ΦΙΛ. Νῦν μέν, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐκ ἐμὸς υἱὸς εἶναι· οὐ γὰρ ἂν ἐτεθνήκεις Ἄμμωνός γε ὤν.

ΑΛΕΞ. Οὐδ' αὐτὸς ἠγνόουν, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα ὡς χρήσιμον εἰς τὰ πράγματα οἰόμενος εἶναι.

ΦΙΛ. Τί λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν;

ΑΛΕΞ. Οὐ τοῦτο, ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενοι θεῷ μάχεσθαι, ὥστε ῥᾷον ἐκράτουν αὐτῶν.

ΦΙΛ. Τίνων δὲ ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ ξυνηνέχθης, τοξάρια καὶ πελτάρια καὶ γέρρα οἰσΰϊνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν καὶ Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν καὶ τὴν Θετταλὴν ἵππον καὶ τοὺς Ἠλείων ἀκοντιστὰς καὶ τὸ Μαντινέων πελταστικὸν ἢ Θρᾷκας ἢ Ἰλλυριοὺς ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα· Μήδων δὲ καὶ Περσῶν καὶ Χαλδαίων, χρυσοφόρων ἀνθρώπων καὶ ἁβρῶν, οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν, οὐδ' εἰς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τὸ τόξευμα ἐξικνεῖσθαι φυγόντων;

ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον, καὶ ὅμως οὐ διαστήσας αὐτοὺς οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας

ἐκράτουν αὐτῶν· οὐδ' ἐπιώρκησα πώποτε, ἢ ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα. καὶ τοὺς Ἕλληνας τοὺς μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον.

ΦΙΛ. Οἶδα ταῦτα πάντα· Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ μεταξὺ δειπνοῦντα ἐφόνευσας τὸ δορατίον διελάσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε. σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλών, κάνδυν, ὥς φασι, μετενέδυς, καὶ τιάραν ὀρθὴν ἐπέθου, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν, ἠξίους, καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν· ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι τῆς τοῦ Δαρείου γυναικὸς καὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα.

ΑΛΕΞ. Τὸ φιλοκίνδυνον δέ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καταπηδᾶν ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα;

ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι οὐ καλὸν οἴομαι εἶναι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ' ὅτι σοι τὸ τοιοῦτον ἥκιστα συνέφερε· θεὸς γὰρ εἶναι δοκῶν εἴ ποτε τρωθείης, καὶ βλέποιέν σε φοράδην τοῦ πολέμου ἐκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμῴζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσιν, ᾗ καὶ ὁ Ἄμμων γόης καὶ ψευδόμαντις ἠλέγχετο καὶ οἱ προφῆται κόλακες. ἢ τίς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λιποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν γὰρ ὁπότε ἤδη

τέθνηκας, οὐκ οἴει πολλοὺς εἶναι τοὺς τὴν προσποίησιν ἐκείνην ἐπικερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτάδην κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα κατὰ νόμον σωμάτων ἁπάντων; καὶ δὴ καὶ τοῦτο, ὃ χρήσιμον ἔφης, ὦ Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολὺ τῆς δόξης ἀφῄρει τῶν κατορθουμένων· πᾶν γὰρ ἐδόκει ἐνδεές, ὑπὸ θεοῦ γίγνεσθαι δοκοῦν.

ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλὰ Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλλον τιθέασί με. καίτοι τὴν Ἄορνον ἐκείνην, οὐδετέρου ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην.

ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις ἑαυτόν; καὶ οὐκ αἰσχύνῃ, ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τῦφον ἀπομαθήσῃ καὶ γνώσῃ σεαυτὸν καὶ συνήσῃ ἤδη νεκρὸς ὤν;

## 17

## ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΑΝΤΙΛΟΧΟΥ

ΑΝΤ. Οἷα πρῴην, Ἀχιλλεῦ, πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου, ὡς ἀγεννῆ καὶ ανάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. ἠκροώμην γάρ, ὁπότε ἔφησθα βούλεσθαι ἐπάρουρος ὢν θητεύειν παρά τινι τῶν ἀκλήρων, "ᾧ μὴ βίοτος πολὺς εἴη," μᾶλλον ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. ταῦτα μὲν οὖν ἀγεννῆ τινα Φρύγα δειλόν, καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζῳον, ἴσως ἐχρῆν λέγειν, τὸν Πηλέως δὲ υἱόν, τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων,

[83]

ταπεινὰ οὕτω περὶ αὑτοῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἐναντία ταῦτα τοῖς πεπραγμένοις σοι ἐν τῷ βίῳ, ὃς ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

ΑΧ. Ὦ παῖ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τῶν ἐνταῦθα ὤν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον εἴη ἀγνοῶν, τὴν δύστηνον ἐκείνην δόξαν προετίμων τοῦ βίου, νῦν δὲ συνίημι ἤδη ὡς ἡ δόξα μὲν ἀνωφελής, εἰ καὶ ὅτι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι· μετὰ νεκρῶν δὲ ὁμοτιμία, καὶ οὔτε τὸ κάλλος ἐκεῖνο, ὦ Ἀντίλοχε, οὔτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ, ὅμοιοι καὶ οὐδὲν ἀλλήλων διαφέροντες, καὶ οὔτε οἱ τῶν Τρῴων νεκροὶ δεδίασί με, οὔτε οἱ τῶν Ἀχαιῶν θεραπεύουσιν, ἰσηγορία δὲ ἀκριβὴς καὶ νεκρὸς ὅμοιος "ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός". ταῦτά με ἀνιᾷ καὶ ἄχθομαι, ὅτι οὐ θητεύω ζῶν.

ΑΝΤ. Ὅμως τί οὖν ἄν τις πάθοι, ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνῄσκειν ἅπαντας, ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις. καὶ δὴ καὶ ὁρᾷς τῶν ἑταίρων ὅσοι περὶ σέ ἐσμεν ὧδε· μετὰ μικρὸν δὲ καὶ Ὀδυσσεὺς ἀφίξεται πάντως. φέρει δὲ παραμυθίαν καὶ ἡ κοινωνία τοῦ πράγματος, καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. ὁρᾷς τὸν Ἡρακλέα καὶ τὸν Μελέαγρον καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἳ οὐκ ἂν οἶμαι δέξαιντο ἀνελθεῖν, εἴ τις αὐτοὺς ἀναπέμψειε θητεύσοντας ἀκλήροις καὶ ἀβίοις ἀνδράσιν.

ΑΧ. Ἀλλ' ὅμως, ἐμὲ μὲν οὐκ οἶδ' ὅπως ἡ μνήμη τῶν παρὰ τὸν βίον ἀνιᾷ, οἶμαι δὲ καὶ ὑμῶν ἕκαστον·

εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐστὲ καθ' ἡσυχίαν αὐτὸ πάσχοντες.

ΑΝΤ. Οὔκ, ἀλλ' ἀμείνους, ὦ Ἀχιλλεῦ· τὸ γὰρ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν· σιωπᾶν γὰρ καὶ φέρειν καὶ ἀνέχεσθαι δέδοκται ἡμῖν, μὴ καὶ γέλωτα ὄφλωμεν ὥσπερ καὶ σὺ τοιαῦτα εὐχόμενοι.

18

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ

ΔΙΟΓ. Οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος, μὰ τὸν Ἡρακλέα. τὸ τόξον, τὸ ῥόπαλον, ἡ λεοντῆ, τὸ μέγεθος, ὅλος Ἡρακλῆς ἐστιν. εἶτα τέθνηκε Διὸς υἱὸς ὤν; εἰπέ μοι, ὦ καλλίνικε, νεκρὸς εἶ; ἐγὼ γάρ σοι ἔθυον ὑπὲρ γῆς ὡς θεῷ.

ΗΡ. Καὶ ὀρθῶς ἔθυες· αὐτὸς μὲν γὰρ ὁ Ἡρακλῆς ἐν τῷ οὐρανῷ τοῖς θεοῖς σύνεστι "καὶ ἔχει καλλίσφυρον Ἥβην", ἐγὼ δ' εἴδωλόν εἰμι αὐτοῦ.

ΔΙΟΓ. Πῶς λέγεις; εἴδωλον τοῦ θεοῦ; καὶ δυνατὸν ἐξ ἡμισείας μέν τινα θεὸν εἶναι, τεθνάναι δὲ τῷ ἡμίσει;

ΗΡ. Ναί· οὐ γὰρ ἐκεῖνος τέθνηκεν, ἀλλ' ἐγὼ ἡ εἰκὼν αὐτοῦ.

ΔΙΟΓ. Μανθάνω· ἄντανδρόν σε τῷ Πλούτωνι παρέδωκεν ἀνθ' ἑαυτοῦ, καὶ σὺ τοίνυν ἀντ' ἐκείνου νεκρὸς εἶ.

ΗΡ. Τοιοῦτό τι.

ΔΙΟΓ. Πῶς οὖν ἀκριβὴς ὁ Αἰακὸς ὢν οὐ διέγνω σε

οὐκ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα;

ΗΡ. Ὅτι ἐῴκη ἀκριβῶς.

ΔΙΟΓ. Ἀληθῆ λέγεις· ἀκριβῶς γάρ, ὥστε αὐτὸς εἶναι. ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί, καὶ σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην παρὰ τοῖς θεοῖς.

ΗΡ. Θρασὺς εἶ καὶ λάλος, καὶ εἰ μὴ παύσῃ σκώπτων εἰς ἐμέ, εἴσῃ αὐτίκα οἵου θεοῦ εἴδωλόν εἰμι.

ΔΙΟΓ. Τὸ μὲν τόξον γυμνὸν καὶ πρόχειρον· ἐγὼ δὲ τί ἂν ἔτι φοβοίμην σε ἅπαξ τεθνηκώς; ἀτὰρ εἰπέ μοι πρὸς τοῦ σοῦ Ἡρακλέους, ὁπότε ἐκεῖνος ἔζη, συνῆσθα αὐτῷ καὶ τότε εἴδωλον ὤν; ἢ εἷς μὲν ἦτε παρὰ τὸν βίον, ἐπεὶ δὲ ἀπεθάνετε, διαιρεθέντες ὁ μὲν εἰς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰκὸς ἦν, εἰς ᾅδου πάρει;

ΗΡ. Ἐχρῆν μὲν μηδὲ ἀποκρίνασθαι πρὸς ἄνδρα οὕτως ἐρεσχηλοῦντα· ὅμως δ' οὖν καὶ τοῦτο ἄκουσον· ὁπόσον μὲν γὰρ Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε καί εἰμι ἐγὼ ἐκεῖνο πᾶν, ὃ δὲ ἦν τοῦ Διός, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς.

ΔΙΟΓ. Σαφῶς νῦν μανθάνω· δύο γὰρ φὴς τεκεῖν τὴν Ἀλκμήνην κατὰ τὸ αὐτὸ Ἡρακλέας, τὸν μὲν ὑπ' Ἀμφιτρύωνος, τὸν δὲ παρὰ τοῦ Διός, ὥστε ἐλελήθειτε δίδυμοι ὄντες ὁμομήτριοι.

ΗΡ. Οὔκ, ὦ μάταιε· ὁ γὰρ αὐτὸς ἄμφω ἦμεν.

ΔΙΟΓ. Οὐκ ἔστι μαθεῖν τοῦτο ῥᾴδιον, συνθέτους δύο ὄντας Ἡρακλέας, εἰ μὴ ὥσπερ ἱπποκένταυρός τις ἦτε εἰς ἓν συμπεφυκότες ἄνθρωπος καὶ θεός.

ΗΡ. Οὐ γὰρ καὶ πάντες οὕτω σοι δοκοῦσι συγκεῖσθαι

ἐκ δυοῖν, ψυχῆς καὶ σώματος; ὥστε τί τὸ κωλῦόν ἐστι τὴν μὲν ψυχὴν ἐν οὐρανῷ εἶναι, ἥπερ ἦν ἐκ Διός, τὸ δὲ θνητὸν ἐμὲ παρὰ τοῖς νεκροῖς;

ΔΙΟΓ. Ἀλλ', ὦ βέλτιστε Ἀμφιτρυωνιάδη, καλῶς ἂν ταῦτα ἔλεγες, εἰ σῶμα ἦσθα, νῦν δὲ ἀσώματον εἴδωλον εἶ· ὥστε κινδυνεύεις τριπλοῦν ἤδη ποιῆσαι τὸν Ἡρακλέα.

ΗΡ. Πῶς τριπλοῦν;

ΔΙΟΓ. Ὧδέ πως· εἰ γὰρ ὁ μέν τις ἐν οὐρανῷ, ὁ δὲ παρ' ἡμῖν σὺ τὸ εἴδωλον, τὸ δὲ σῶμα ἐλύθη κόνις ἤδη γενόμενον, τρία ταῦτα δὴ γίγνεται. καὶ σκόπει, ὅντινα δὴ πατέρα τὸν τρίτον ἐπινοήσεις τῷ σώματι.

ΗΡ. Θρασὺς εἶ καὶ σοφιστής· τίς δὲ καὶ ὢν τυγχάνεις;

ΔΙΟΓ. Διογένους τοῦ Σινωπέως εἴδωλον, αὐτὸς δὲ οὐ μὰ Δία "μετ' ἀθανάτοισι θεοῖσιν", ἀλλὰ τοῖς βελτίστοις νεκρῶν ἀνδρῶν συνών, Ὁμήρου καὶ τῆς τοσαύτης φλυαρίας καταγελῶ.

## 19

## ΠΡΩΤΕΣΙΛΑΟΥ, ΠΛΟΥΤΩΝΟΣ ΚΑΙ ΠΕΡΣΕΦΟΝΗΣ

ΠΡΩΤ. Ὦ δέσποτα καὶ βασιλεῦ καὶ ἡμέτερε Ζεῦ, καὶ σὺ Δήμητρος θύγατερ, μὴ ὑπερίδητε δέησιν ἐρωτικήν.

ΠΛΟΥΤ. Σὺ δὲ τίνων δέῃ παρ' ἡμῶν; ἢ τίς ὢν τυγχάνεις;

ΠΡΩΤ. Εἰμὶ μὲν Πρωτεσίλεως ὁ Ἰφίκλου Φυλάκιος

συστρατιώτης τῶν Ἀχαιῶν καὶ πρῶτος ἀποθανὼν τῶν ἐπ' Ἰλίῳ. δέομαι δὲ ἀφεθεὶς πρὸς ὀλίγον ἀναβιῶναι πάλιν.

ΠΛΟΥΤ. Τοῦτον μὲν τὸν ἔρωτα, ὦ Πρωτεσίλαε, πάντες νεκροὶ ἐρῶσι, πλὴν οὐδεὶς ἂν αὐτῶν τύχοι.

ΠΡΩΤ. Ἀλλ' οὐ τοῦ ζῆν, Ἀϊδωνεῦ, ἐρῶ ἔγωγε, τῆς γυναικὸς δέ, ἣν νεόγαμον ἔτι ἐν τῷ θαλάμῳ καταλιπὼν ᾠχόμην ἀποπλέων, εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος. ὁ οὖν ἔρως τῆς γυναικὸς οὐ μετρίως ἀποκναίει με, ὦ δέσποτα, καὶ βούλομαι καὶ πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ καταβῆναι πάλιν.

ΠΛΟΥΤ. Οὐκ ἔπιες, ὦ Πρωτεσίλαε, τὸ Λήθης ὕδωρ;

ΠΡΩΤ. Καὶ μάλα, ὦ δέσποτα· τὸ δὲ πρᾶγμα ὑπέρογκον ἦν.

ΠΛΟΥΤ. Οὐκοῦν περίμεινον· ἀφίξεται γὰρ κἀκείνη ποτὲ καὶ οὐδὲ σὲ ἀνελθεῖν δεήσει.

ΠΡΩΤ. Ἀλλ' οὐ φέρω τὴν διατριβήν, ὦ Πλούτων· ἠράσθης δὲ καὶ αὐτὸς ἤδη καὶ οἶσθα οἷον τὸ ἐρᾶν ἐστιν.

ΠΛΟΥΤ. Εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι μετ' ὀλίγον τὰ αὐτὰ ὀδυρόμενον;

ΠΡΩΤ. Οἶμαι πείσειν κἀκείνην ἀκολουθεῖν παρ' ὑμᾶς, ὥστε ἀνθ' ἑνὸς δύο νεκροὺς λήψει μετ' ὀλίγον.

ΠΛΟΥΤ. Οὐ θέμις γενέσθαι ταῦτα, οὐδὲ γέγονε πώποτε.

ΠΡΩΤ. Ἀναμνήσω σε, ὦ Πλούτων· Ὀρφεῖ γὰρ δι' αὐτὴν ταύτην τὴν αἰτίαν τὴν Εὐρυδίκην παρέδοτε καὶ τὴν ὁμογενῆ μου Ἄλκηστιν παρεπέμψατε Ἡρακλεῖ χαριζόμενοι.

ΠΛΟΥΤ. Θελήσεις δὲ οὕτως κρανίον γυμνὸν ὢν καὶ ἄμορφον τῇ καλῇ σου ἐκείνῃ νύμφῃ φανῆναι; πῶς δὲ κἀκείνη προσήσεταί σε οὐδὲ δυναμένη διαγνῶναι; φοβήσεται γὰρ εὖ οἶδα, καὶ φεύξεταί σε, καὶ μάτην ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς.

ΠΕΡΣ. Οὐκοῦν, ὦ ἄνερ, σὺ καὶ τοῦτο ἴασαι, καὶ τὸν Ἑρμῆν κέλευσον, ἐπειδὰν ἐν τῷ φάει ἤδη ὁ Πρωτεσίλαος ᾖ, καθικόμενον τῇ ῥάβδῳ νεανίαν εὐθὺς καλὸν ἀπεργάσασθαι αὐτόν, οἷος ἦν ἐκ τοῦ θαλάμου.

ΠΛΟΥΤ. Ἐπεὶ Φερσεφόνῃ συνδοκεῖ, ἀναγαγὼν τοῦτον αὖθις ποίησον νυμφίον· σὺ δὲ μέμνησο μίαν λαβὼν ἡμέραν.

## 20

## ΑΙΑΚΟΥ, ΠΡΩΤΕΣΙΛΑΟΥ, ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΑΡΙΔΟΣ

ΑΙΑΚ. Τί ἄγχεις, ὦ Πρωτεσίλαε, τὴν Ἑλένην προσπεσών;

ΠΡΩΤ. Ὅτι διὰ ταύτην, ὦ Αἰακέ, ἀπέθανον ἡμιτελῆ μὲν τὸν δόμον καταλιπών, χήραν τε τὴν νεόγαμον γυναῖκα.

ΑΙΑΚ. Αἰτιῶ τοίνυν τὸν Μενέλαον, ὅστις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς ἐπὶ Τροίαν ἤγαγεν.

ΠΡΩΤ. Εὖ λέγεις· ἐκεῖνόν μοι αἰτιατέον.

ΜΕΝ. Οὐκ ἐμέ, ὦ βέλτιστε, ἀλλὰ δικαιότερον τὸν Πάριν, ὃς ἐμοῦ τοῦ ξένου τὴν γυναῖκα παρὰ πάντα τὰ δίκαια ᾤχετο ἁρπάσας· οὗτος γὰρ οὐχ ὑπὸ σοῦ μόνου, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἄξιος ἄγχεσθαι, τοσούτοις θανάτου αἴτιος γεγενημένος.

ΠΡΩΤ. Ἄμεινον οὕτω· τοιγαροῦν σέ, ὦ Δύσπαρι, οὐκ ἀφήσω ποτὲ ἀπὸ τῶν χειρῶν.

ΠΑΡ. Ἄδικα ποιῶν, ὦ Πρωτεσίλαε, καὶ ταῦτα ὁμότεχνον ὄντα σοι· ἐρωτικὸς γὰρ καὶ αὐτός εἰμι καὶ τῷ αὐτῷ θεῷ κατέσχημαι· οἶσθα δὲ ὡς ἀκούσιόν τί ἐστι, καί τις ἡμᾶς δαίμων ἄγει οἷπερ ἂν ἐθέλῃ, καὶ ἀδύνατόν ἐστιν ἀντιτάττεσθαι αὐτῷ.

ΠΡΩΤ. Εὖ λέγεις. εἴθε οὖν μοι τὸν Ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν.

ΑΙΑΚ. Ἐγώ σοι καὶ περὶ τοῦ Ἔρωτος ἀποκρινοῦμαι τὰ δίκαια· φήσει γὰρ αὐτὸς μὲν τοῦ ἐρᾶν τῷ Πάριδι ἴσως γεγενῆσθαι αἴτιος, τοῦ θανάτου δέ σοι οὐδένα ἄλλον, ὦ Πρωτεσίλαε, ἢ σεαυτόν, ὃς ἐκλαθόμενος τῆς νεογάμου γυναικός, ἐπεὶ προσεφέρεσθε τῇ Τρῳάδι, οὕτως φιλοκινδύνως καὶ ἀπονενοημένως προεπήδησας τῶν ἄλλων, δόξης ἐρασθείς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες.

ΠΡΩΤ. Οὐκοῦν καὶ ὑπὲρ ἐμαυτοῦ σοι, ὦ Αἰακέ, ἀποκρινοῦμαι δικαιότερα· οὐ γὰρ ἐγὼ τούτων αἴτιος, ἀλλ' ἡ Μοῖρα καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι.

ΑΙΑΚ. Ὀρθῶς· τί οὖν τούτους αἰτιᾷ;

## 21

## ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΜΑΥΣΩΛΟΥ

ΔΙΟΓ. Ὦ Κάρ, ἐπὶ τίνι μέγα φρονεῖς καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς;

ΜΑΥΣ. Καὶ ἐπὶ τῇ βασιλείᾳ μέν, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν

ἐνίων, καὶ νήσους τινὰς ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν καὶ μέγας καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ' οὐδὲ οὕτως εἰς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον ᾐκασμένων λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕροι τις ἂν ῥᾳδίως. οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν;

ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῂς καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου;

ΜΑΥΣ. Νὴ Δί' ἐπὶ τούτοις.

ΔΙΟΓ. Ἀλλ', ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἐκείνη ἔτι σοὶ οὔτε ἡ μορφὴ πάρεστιν· εἰ γοῦν τινα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν, τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω καὶ γυμνά, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. ὁ δὲ τάφος καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἂν ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι· σὺ δέ, ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ τι ἀπολαύεις αὐτοῦ, εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς, ὑπὸ τηλικούτων λίθων πιεζόμενος.

ΜΑΥΣ. Ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα, καὶ ἰσότιμος ἔσται Μαύσωλος καὶ Διογένης;

ΔΙΟΓ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε, οὐ γάρ· Μαύσωλος μὲν γὰρ οἰμώξεται μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο, Διογένης δὲ καταγελάσεται

[91]

αὐτοῦ. καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον, ὁ Διογένης δὲ τοῦ μὲν σώματος εἰ καί τινα τάφον ἔχει οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου· λόγον δὲ τοῖς ἀρίστοις περὶ αὑτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκώς, ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε, τοῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

## 22

## ΝΙΡΕΩΣ ΚΑΙ ΘΕΡΣΙΤΟΥ ΚΑΙ ΜΕΝΙΠΠΟΥ

ΝΙΡ. Ἰδοὺ δή. Μένιππος οὑτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. εἰπέ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ;

ΜΕΝ. Τίνες δὲ καὶ ἔστε; πρότερον γάρ, οἶμαι, χρὴ τοῦτο εἰδέναι.

ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης.

ΜΕΝ. Πότερος οὖν ὁ Νιρεὺς καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον.

ΘΕΡΣ. Ἓν μὲν ἤδη τοῦτο ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρεις ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἁπάντων εὐμορφότερον προσειπών, ἀλλ' ὁ φοξὸς ἐγὼ καὶ ψεδνὸς οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. ὅρα δὲ σύ, ὦ Μένιππε, ὅντινα καὶ εὐμορφότερον ἡγῇ.

ΝΙΡ.

Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος,
ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

ΜΕΝ. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες, ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον

ταύτῃ μόνον ἄρα διακρίνοιτο ἂν ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἀλαπαδνὸν γὰρ αὐτὸ καὶ οὐκ ἀνδρῶδες ἔχεις.

ΝΙΡ. Καὶ μὴν ἐροῦ Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς.

ΜΕΝ. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ βλέπω ἃ καὶ νῦν ἔχεις, ἐκεῖνα δὲ οἱ τότε ἴσασιν.

ΝΙΡ. Οὔκουν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

ΜΕΝ. Οὔτε σὺ οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γὰρ ἐν ᾅδου καὶ ὅμοιοι ἅπαντες.

ΘΕΡΣ. Ἐμοὶ μὲν οὖν καὶ τοῦτο ἱκανόν.

## 23

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΧΕΙΡΩΝΟΣ

ΜΕΝ. Ἤκουσα, ὦ Χείρων, ὡς θεὸς ὢν ἐπιθυμήσειας ἀποθανεῖν.

ΧΕΙΡ. Ἀληθῆ ταῦτα ἤκουσας, ὦ Μένιππε, καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος.

ΜΕΝ. Τίς δαί σε ἔρως τοῦ θανάτου ἔσχεν, ἐχθίστου τοῖς πολλοῖς χρήματος;

ΧΕΙΡ. Ἐρῶ πρός σε οὐκ ἀσύνετον ὄντα. οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας.

ΜΕΝ. Οὐχ ἡδὺ ἦν ζῶντα ὁρᾶν τὸ φῶς;

ΧΕΙΡ. Οὔκ, ὦ Μένιππε· τὸ γὰρ ἡδὺ ἔγωγε ποικίλον τι καὶ οὐχ ἁπλοῦν ἡγοῦμαι εἶναι. ἐγὼ δὲ ζῶν ἀεὶ καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φάους, τροφῆς,—αἱ ὧραι δὲ αἱ αὐταὶ καὶ τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον,

ὥσπερ ἀκολουθοῦντα θάτερον θατέρῳ,—ἐνεπλήσθην γοῦν αὐτῶν· οὐ γὰρ ἐν τῷ αὐτῷ ἀεί, ἀλλὰ καί ἐν τῷ μὴ μετασχεῖν ὅλως τὸ τερπνὸν ἦν.

ΜΕΝ. Εὖ λέγεις, ὦ Χείρων. τὰ ἐν ᾅδου δὲ πῶς φέρεις, ἀφ' οὗ προελόμενος αὐτὰ ἥκεις;

ΧΕΙΡ. Οὐκ ἀηδῶς, ὦ Μένιππε· ἡ γὰρ ἰσοτιμία πάνυ δημοτική, καὶ τὸ πρᾶγμα οὐδὲν ἔχει τὸ διάφορον, ἐν φάει εἶναι ἢ καὶ ἐν σκότῳ· ἄλλως τε οὔτε διψῆν ὥσπερ ἄνω οὔτε πεινῆν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν.

ΜΕΝ. Ὅρα, ὦ Χείρων, μὴ περιπίπτῃς σεαυτῷ, καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος περιπέσῃ.

ΧΕΙΡ. Πῶς τοῦτο φής;

ΜΕΝ. Ὅτι εἰ τῶν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐνεποίησέ σοι κόρον, καὶ τἀνταῦθα ὅμοια ὄντα κόρον ὁμοίως ἂν ἐμποιοίη, καὶ δεήσει μεταβολήν σε ζητεῖν τινα καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅπερ οἶμαι ἀδύνατον.

ΧΕΙΡ. Τί οὖν ἂν πάθοι τις, ὦ Μένιππε;

ΜΕΝ. Ὅπερ, οἶμαι, φασί, συνετὸν ὄντα ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

## 24

## ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΝΤΙΣΘΕΝΟΥΣ ΚΑΙ ΚΡΑΤΗΤΟΣ

ΔΙΟΓ. Ἀντίσθενες καὶ Κράτης, σχολὴν ἄγομεν· ὥστε τί οὐκ ἄπιμεν ἐπὶ τῆς καθόδου περιπατήσαντες,

ὀψόμενοι τοὺς κατιόντας, οἷοί τέ εἰσι καὶ τί ἕκαστος αὐτῶν ποιεῖ;

ΑΝΤ. Ἀπίωμεν, ὦ Διόγενες· καὶ γὰρ ἂν ἡδὺ τὸ θέαμα γένοιτο, τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ καὶ ἱκετεύοντας ἀφεθῆναι, ἐνίους δὲ μόλις κατιόντας, καὶ ἐπὶ τράχηλον ὠθοῦντος τοῦ Ἑρμοῦ, ὅμως ἀντιβαίνοντας καὶ ὑπτίους ἀντερείδοντας, οὐδὲν δέον.

ΚΡΑΤ. Ἔγωγ' οὖν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον ὁπότε κατῄειν κατὰ τὴν ὁδόν.

ΔΙΟΓ. Διήγησαι, ὦ Κράτης· ἔοικας γάρ τινα ἑορακέναι παγγέλοια.

ΚΡΑΤ. Καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν, ἐν αὐτοῖς δὲ ἐπίσημοι Ἰσμηνόδωρός τε ὁ πλούσιος ὁ ἡμέτερος, καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος, καὶ Ὀροίτης ὁ Ἀρμένιος. ὁ μὲν οὖν Ἰσμηνόδωρος—ἐπεφόνευτο γὰρ ὑπὸ τῶν λῃστῶν περὶ τὸν Κιθαιρῶνα, εἰς Ἐλευσῖνα οἶμαι βαδίζων—ἔστενέ τε, καὶ τὸ τραῦμα ἐν ταῖν χεροῖν εἶχε, καὶ τὰ παιδία, ἃ νεογνὰ κατελελοίπει, ἀνεκαλεῖτο, καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων, καὶ τὰ περὶ τὰς Ἐλευθερὰς χωρία ἔρημα ὄντα ὑπὸ τῶν πολέμων διαπορευόμενος, δύο μόνους οἰκέτας ἐπηγάγετο, καὶ ταῦτα φιάλας πέντε χρυσᾶς καὶ κυμβία τέτταρα μεθ' ἑαυτοῦ ἔχων. ὁ δὲ Ἀρσάκης—γεραιὸς γὰρ ἤδη καὶ νὴ Δία σεμνὸς τὴν ὄψιν—ὡς βάρβαρος ἤχθετο καὶ ἠγανάκτει πεζὸς βαδίζων, καὶ ἠξίου τὸν ἵππον αὐτῷ προσαχθῆναι· καὶ γὰρ ὁ ἵππος αὐτῷ συνετεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι γὰρ ἀπέθανον ὑπὸ Θρᾳκός τινος πελταστοῦ, ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ συμπλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης

ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων ἔμπροσθεν, ὑποστὰς δὲ ὁ Θρᾷξ, τῇ πέλτῃ μὲν ὑποδὺς ἀποσείεται τοῦ Ἀρσάκου τὸν κοντόν, ὑποθεὶς δὲ τὴν σάρισαν, αὐτόν τε διαπείρει καὶ τὸν ἵππον.

ΑΝΤ. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι;

ΚΡΑΤ. Ῥᾷστ', ὦ Ἀντίσθενες· ὁ μὲν γὰρ ἐπήλαυνεν εἰκοσάπηχύν τινα προβεβλημένος κοντόν, ὁ Θρᾷξ δὲ ἐπειδὴ τῇ πέλτῃ ἀπεκρούσατο τὴν προσβολήν, καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκή, ἐς τὸ γόνυ ὀκλάσας, δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν, καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμοῦ καὶ σφοδρότητος διαπείραντα ἑαυτόν· διελαύνεται δὲ καὶ ὁ Ἀρσάκης ἐκ τοῦ βουβῶνος διαμπάξ. ὁρᾷς οἷόν τι ἐγένετο, οὐ τοῦ ἀνδρός, ἀλλὰ τοῦ ἵππου μᾶλλον τὸ ἔργον. ἠγανάκτει δ' ὅμως ὁμότιμος ὢν τῶν ἄλλων, καὶ ἠξίου ἱππεὺς κατιέναι. ὁ δέ γε Ὀροίτης καὶ πάνυ ἁπαλὸς ἦν τὼ πόδε, καὶ οὐδ' ἑστάναι χαμαί, οὐχ ὅπως βαδίζειν ἐδύνατο· πάσχουσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπειδὰν ἀποβῶσι τῶν ἵππων, ὥσπερ ἐπὶ τῶν ἀκανθῶν βαίνοντες, ἀκροποδητὶ μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν ἔκειτο, καὶ οὐδεμιᾷ μηχανῇ ἀνίστασθαι ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἀράμενος αὐτὸν ἐκόμισεν πρὸς τὸ πορθμεῖον, ἐγὼ δὲ ἐγέλων.

ΑΝΤ. Κἀγὼ ὁπότε κατῄειν, οὐδ' ἀνέμειξα ἐμαντὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμῴζοντας αὐτούς, προσδραμὼν ἐπὶ τὸ πορθμεῖον, προκατέλαβον χώραν, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι· καὶ παρὰ τὸν πλοῦν οἱ μὲν ἐδάκρυόν τε καὶ ἐναυτίων, ἐγὼ δὲ μάλα ἐτερπόμην ἐπ' αὐτοῖς.

ΔΙΟΓ. Σὺ μέν, ὦ Κράτης καὶ Ἀντίσθενες, τοιούτων ἐτύχετε τῶν συνοδοιπόρων, ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστικὸς ὁ ἐκ Πίσης, καὶ Λάμπις ὁ Ἀκαρνάν, ξεναγὸς ὤν, καὶ Δᾶμις ὁ πλούσιος ὁ ἐκ Κορίνθου, συγκατῄεσαν, ὁ μὲν Δᾶμις ὑπὸ τοῦ παιδὸς ἐκ φαρμάκων ἀποθανών, ὁ δὲ Λάμπις δι' ἔρωτα ἀποσφάξας ἑαυτόν, ὁ δὲ Βλεψίας λιμῷ ὁ ἄθλιος ἐλέγετο ἀπεσκληκέναι, καὶ ἐδήλου γε ὠχρὸς εἰς ὑπερβολὴν καὶ λεπτὸς φαινόμενος. ἐγὼ δὲ καίπερ εἰδώς, ἀνέκρινον, ὃν τρόπον ἀποθάνοιεν. εἶτα τῷ μὲν Δάμιδι αἰτιωμένῳ τὸν υἱόν, Οὐκ ἄδικα μέντοι ἔπαθες, ἔφην, ὑπ' αὐτοῦ, εἰ τάλαντα ἔχων ὁμοῦ χίλια, καὶ τρυφῶν αὐτὸς ἐνενηκοντούτης ὤν, ὀκτωκαιδεκαέτει νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες. σὺ δέ, ὦ Ἀκαρνάν,—ἔστενε γὰρ κἀκεῖνος—τί αἰτιᾷ τὸν Ἔρωτα, σεαυτὸν δέον, ὃς τοὺς μὲν πολεμίους οὐδεπώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγωνίζου ὑπὲρ τῶν ἄλλων, ὑπὸ δὲ τῆς τυχούσης παιδίσκης καὶ δακρύων ἐπιπλάστων καὶ στεναγμῶν ἑάλως, ὁ γενναῖος; ὁ μὲν γὰρ Βλεψίας αὐτὸς ἑαυτοῦ κατηγόρει φθάσας πολλὴν τὴν ἄνοιαν, ὡς τὰ χρήματα ἐφύλαττε τοῖς οὐδὲν προσήκουσι κληρονόμοις, ἐσαεὶ βιώσεσθαι ὁ μάταιος νομίζων. πλὴν ἔμοιγε οὐ τὴν τυχοῦσαν τερπωλὴν παρέσχον τότε στένοντες. ἀλλ' ἤδη μὲν ἐπὶ τῷ στομίῳ ἐσμέν, ἀποβλέπειν δὲ χρὴ καὶ ἀποσκοπεῖν πόρρωθεν τοὺς ἀφικνουμένους. βαβαί, πολλοί γε καὶ ποικίλοι, καὶ πάντες δακρύοντες πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ γέροντες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον οὖν τὸν ὑπέργηρων ἐρέσθαι βούλομαι. τί δακρύεις

τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς, ὦ βέλτιστε, καὶ ταῦτα γέρων ἀφιγμένος; ἦ που βασιλεύς τις ἦσθα;

ΠΤΩ. Οὐδαμῶς.

ΔΙΟΓ. Ἀλλὰ σατράπης;

ΠΤΩ. Οὐδὲ τοῦτο.

ΔΙΟΓ. Ἆρα οὖν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθνάναι;

ΠΤΩ. Οὐδὲν τοιοῦτον, ἀλλ' ἔτη μὲν ἐγεγόνη ἀμφὶ τὰ ἐνενήκοντα, βίον δὲ ἄπορον ἀπὸ καλάμου καὶ ὁρμιᾶς εἶχον, εἰς ὑπερβολὴν πτωχὸς ὤν, καὶ ἄτεκνος, καὶ προσέτι χωλὸς καὶ ἀμυδρὸν βλέπων.

ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν ζῆν ἤθελες;

ΠΤΩ. Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ τὸ τεθνάναι δεινὸν καὶ φευκτέον.

ΔΙΟΓ. Παραπαίεις, ὦ γέρον, καὶ μειρακιεύῃ πρὸς τὸ χρεών, καὶ ταῦτα ἡλικιώτης ὢν τοῦ πορθμέως. τί οὖν ἄν τις ἔτι λέγοι περὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοί εἰσιν, οὓς ἐχρῆν διώκειν τὸν θάνατον ὡς τῶν ἐν τῷ γήρᾳ κακῶν φάρμακον. ἀλλ' ἀπίωμεν ἤδη, μὴ καί τις ἡμᾶς ὑπίδηται ὡς ἀπόδρασιν βουλεύοντας, ὁρῶν περὶ τὸ στόμιον διάγοντας.

## 25

## ΑΙΑΝΤΟΣ ΚΑΙ ΑΓΑΜΕΜΝΟΝΟΣ

ΑΓΑΜ. Εἰ σὺ μανείς, ὦ Αἶαν, σαυτὸν ἐφόνευσας, ἐμέλλησας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα καὶ πρῴην οὔτε προσέβλεψας αὐτόν, ὁπότε ἧκε μαντευσόμενος, οὔτε προσειπεῖν ἠξίωσας ἄνδρα συστρατιώτην

καὶ ἑταῖρον, ἀλλ' ὑπεροπτικῶς μεγάλα βαίνων παρῆλθες;

ΑΙΑΣ. Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γάρ μοι τῆς μανίας αἴτιος κατέστη μόνος, προκριθεὶς ἐπὶ τοῖς ὅπλοις.

ΑΓΑΜ. Ἠξίωσας δὲ ἀνανταγώνιστος εἶναι καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων;

ΑΙΑΣ. Ναί, τά γε τοιαῦτα· οἰκεία γάρ μοι ἦν ἡ πανοπλία, τοῦ ἀνεψιοῦ γε οὖσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες ἀπείπετε τὸν ἀγῶνα, καὶ παρεχωρήσατε μοι, ὁ δὲ Λαέρτου, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶναι καὶ ἐπιτηδειότερος ἔχειν τὰ ὅπλα.

ΑΓΑΜ. Τοιγαροῦν αἰτιῶ, ὦ γενναῖε, τὴν Θέτιν, ἣ δέον σοι τὴν κληρονομίαν παραδοῦναι τῶν ὅπλων συγγενεῖ γε ὄντι, φέρουσα ἐς τὸ κοινὸν κατέθετο αὐτά.

ΑΙΑΣ. Οὔκ, ἀλλὰ τὸν Ὀδυσσέα, ὃς ἀντεποιεῖτο μόνος.

ΑΓΑΜ. Συγγνώμη, ὦ Αἶαν, εἰ ἄνθρωπος ὢν ὠρέχθη δόξης, ἡδίστου πράγματος, ὑπὲρ οὗ καὶ ἡμῶν ἕκαστος κινδύνους ὑπέμενεν, ἐπεὶ καὶ ἐκράτησέ σου καὶ ταῦτα Τρῳῶν δικαστῶν ὄντων.

ΑΙΑΣ. Οἶδα ἐγώ, ἥτις μου κατεδίκασεν· ἀλλ' οὐ θέμις λέγειν τι περὶ τῶν θεῶν. τὸν δ' οὖν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον, οὐδ' εἰ αὐτή μοι ἡ Ἀθηνᾶ τοῦτ' ἐπιτάττοι.

## 26

## ΜΙΝΩΟΣ ΚΑΙ ΣΩΣΤΡΑΤΟΥ

ΜΙΝ. Ὁ μὲν λῃστὴς οὑτοσὶ Σώστρατος εἰς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω, ὁ δὲ ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω, ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν παραταθείς, ὑπὸ τῶν γυπῶν καὶ αὐτὸς κειρέσθω τὸ ἧπαρ, ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἐπειδὴ δίκαια ἐποιεῖτε παρὰ τὸν βίον.

ΣΩΣΤ. Ἄκουσον, ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν.

ΜΙΝ. Νῦν ἀκούσω αὖθις; οὐ γὰρ ἐξελήλεγξαι, ὦ Σώστρατε, πονηρὸς ὢν καὶ τοσούτους ἀπεκτονώς;

ΣΩΣΤ. Ἐλήλεγμαι μέν, ἀλλ' ὅρα εἰ καὶ δικαίως κολασθήσομαι.

ΜΙΝ. Καὶ πάνυ, εἴ γε ἀποτίνειν τὴν ἀξίαν δίκαιον.

ΣΩΣΤ. Ὅμως ἀπόκριναί μοί, ὦ Μίνως· βραχὺ γάρ τι ἐρήσομαί σε.

ΜΙΝ. Λέγε, μὴ μακρὰ μόνον, ὡς καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη.

ΣΩΣΤ. Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραττον ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς Μοίρας;

ΜΙΝ. Ὑπὸ τῆς Μοίρας δηλαδή.

ΣΩΣΤ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς ἐκείνῃ ὑπηρετοῦντες ταῦτα ἐδρῶμεν;

[100]

ΜΙΝ. Ναί, τῇ Κλωθοῖ, ἣ ἑκάστῳ ἐπέταξε γεννηθέντι τὰ πρακτέα.

ΣΩΣΤ. Εἰ τοίνυν ἀναγκασθείς τις ὑπ' ἄλλου φονεύσειέ τινα, μὴ δυνάμενος ἀντιλέγειν ἐκείνῳ βιαζομένῳ, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθείς, ὁ δὲ τυράννῳ, τίνα αἰτιάσῃ τοῦ φόνου;

ΜΙΝ. Δῆλον ὡς τὸν δικαστὴν ἢ τὸν τύραννον, ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό· ὑπηρετεῖ γὰρ ὄργανον ὂν τοῦτο πρὸς τὸν θυμὸν τῷ πρώτῳ παρασχόντι τὴν αἰτίαν.

ΣΩΣΤ. Εὖ γε, ὦ Μίνως, ὅτι καὶ ἄλλα προστίθης τῷ παραδείγματι. ἢν δέ τις ἀποστείλαντος τοῦ δεσπότου ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τίνι τὴν χάριν ἰστέον ἢ τίνα εὐεργέτην ἀναγραπτέον;

ΜΙΝ. Τὸν πέμψαντα, ὦ Σώστρατε· διάκονος γὰρ ὁ κομίσας ἦν.

ΣΩΣΤ. Οὐκοῦν ὁρᾷς ὅπως ἄδικα ποιεῖς κολάζων ἡμᾶς, ὑπηρέτας γενομένους ὧν ἡ Κλωθὼ προσέταττε, καὶ τούτους τιμῶν, τοὺς διακονήσαντας ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἔχοι τις ἄν, ὡς τὸ ἀντιλέγειν δυνατὸν ἦν τοῖς μετὰ πάσης ἀνάγκης προστεταγμένοις.

ΜΙΝ. Ὦ Σώστρατε, πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐ κατὰ λόγον γιγνόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις τῆς ἐρωτήσεως, ὅτι οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. ἀπόλυσον αὐτόν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. ὅρα δὲ μὴ καὶ τοὺς ἄλλους νεκροὺς τὰ ὅμοια ἐρωτᾶν διδάξῃς.

[101]

# NOTES

## ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ

### 1

### Page 1.

Προμηθεὺς εἷς τις ἦν τῶν Τιτάνων· ἐβοήθει δὲ τῷ Διΐ τότε, ὅτε ὁ Ζεὺς κατέβαλλε τοὺς Τιτᾶνας εἰς Τάρταρα. ὕστερον δὲ ὁ Προμηθεὺς ἔπλασεν ἄνθρωπον ἐξ ὕδατός τε καὶ γῆς, ἔπλασε δὲ καὶ τὴν πρώτην γυναῖκα Πανδώραν. καὶ πρὸς τούτοις ἅτε φίλος ὢν τοῖς ἀνθρώποις, κλέψας τὸ πῦρ καὶ κρύψας ἐν νάρθηκι, ἄκοντος Διός, ἔδωκε τοῖς ἀνθρώποις. διὰ ταῦτα ὀργισθεὶς ὁ Ζεὺς ἐκέλευσε, προσηλῶσαι τὸν Προμηθέα ἐν Καυκάσῳ ὄρει· προσηλωθέντος δὲ τοῦ Προμηθέως τὸ ἧπαρ κατήσθιεν ἢ γὺψ ἢ αἰετὸς καθ' ἡμέραν, τὸ δὲ αἰεὶ νυκτὸς ηὐξάνετο.

4. **πέδαι·** δεσμὰ σιδηρᾶ.

6. **κείρεσθαι·** τέμνεσθαι.

9. **δημιουργῶ·** ποιῶ· τέκτων γὰρ ὁ δημιουργός, ὃς τέχνην ἔχων ἐργάζεται.

10. **ἐν τῇ νομῇ τῶν κρεῶν·** περὶ τούτου μῦθος ἦν τοιόσδε. πάλαι μὲν γὰρ ἦν τις ἔρις τοῖς τ' ἀνθρώποις καὶ τοῖς θεοῖς ἐν Μηκώνῃ· τότε δ' ὁ Προμηθεύς, βοῦν σφάξας, διένειμε τὰ κρέα τοῦ βοός, δύο μέρη ποιήσας· ὧν θάτερον μὲν ὧδ' ἐποίησε· τάς τε σάρκας καὶ τὰ ἔγκατα κατέθηκεν ἐν ῥινῷ, καλύψας γαστρὶ βοείῃ· θάτερον δ' ὧδε· τὰ ὀστᾶ κατεκάλυψε δημῷ, ὥστε καλόν τι φαίνεσθαι. ὁ δὲ Ζεὺς ἰδὼν τὸν δημόν, ᾑρεῖτο τοῦτο τὸ μέρος, ἐπεὶ δ' ᾔσθετο ἀπατηθείς, ὠργίσθη. ὀργισθεὶς δὲ οὐκ ἤθελε δοῦναι τὸ πῦρ τοῖς ἀνθρώποις· τὰ δὲ λοιπὰ οἶσθά που. **πīμελή·** δημός. ἄλλο μὲν δῆμος, ἄλλο δὲ δημός· διαφέρει δὴ ὁ τόνος.

14. **προσηλωμένος·** ἥλοις

[102]

προσπατταλευθείς.

16. **πολλοστημόριον·** πολλῶν μορίων ἕν, ὥστε μικρότατον δὴ μέρος εἶναι ὧν δεῖ.

18. **ἀμισθί·** ἄνευ μισθοῦ.

19. **μηνύσω·** ἀγγελῶ· ὁ δὲ μηνύσας, μηνυτὴς καλεῖται. **ἀναγκαῖον** ἐστίν, ἐὰν ἀνάγκη ᾖ εἰδέναι· ἀνάγκη δὲ τὸ ἄφυκτον.

20. **κατασοφίζῃ·** πείθεις σοφίσμασιν, θωπεύεις, ἀπατᾷς.

21. **τί πλέον·** τί κέρδος. ὁ γὰρ πλεονέκτης κερδαίνει.

22. **ἀπορεῖ** τινος, ὃς ἂν μὴ ἔχῃ, ἄπορος ὤν· τὸ δ' ἐναντίον εὔπορος, εὐπορῶ.

23. **τεχνάζων·** τέχνας πορίζων καὶ δόλους καὶ ἀπάτας.

Page 2.

3. **ἀξιόπιστος·** ἄξιος πίστεως, ἄξιος πιστευθῆναι.

4. **μαντευόμενος·** προλέγων ὡς μάντις, λέγων τὰ ἀφανῆ.

6. **Θέτις** νύμφη ἦν θαλασσία. τὸ δ' αὐτὸ μαντεῖον ἦν καὶ περὶ Μήτιδος· ὁ δὲ Ζεὺς φοβούμενος τὸ μαντεῖον, ἔφθη καταπιὼν τὴν Μήτιδα (ἢ Θέτιδα). μετὰ δὲ ταῦτα ἀλγῶν τὴν κεφαλήν, ἐκέλευσε τὸν Ἥφαιστον πλῆξαι τὴν κεφαλὴν τῷ πελέκει· πλήξαντος δὲ τοῦ Ἡφαίστου τὴν κεφαλήν, ἐξέθορεν ἡ Ἀθηνᾶ ὡπλισμένη.

## 2

19. **Γανυμήδης** παῖς ἦν κάλλιστος, ὃν ἀφήρπασεν ὁ Ζεὺς ἵνα οἰνοχόος γένοιτο ἐν Ὀλύμπῳ· πρὸς δὲ τοῦτο ἐγένετο αἰετὸς ὁ Ζεύς. ἄρχεται δ' ὁ διάλογος ἐν Ὀλύμπῳ, ἄρτι ἀναλαβόντος τοῦ Διὸς τὸ ἑαυτοῦ σχῆμα.

20. **ῥάμφος·** ῥύγχος, ῥυγχίον. **ἀγκύλον·** οὐκ ὀρθόν, ἀλλὰ ὥσπερ ἡμίκυκλος.

22. **πτηνός·** πτέρυγας ἔχων, ὡς ὄρνις.

23. **καταπτάμενος·** πέτονται δὴ οἱ ὄρνιθες, ταῖς πτέρυξι χρώμενοι.

24. **ποίμνιον** ἂν εἴη, ὅπου πολλὰ πρόβατα ἢ ἄλλα βοσκήματα συλλελεγμένα εἴη. ποίμνη.

25. **ἐξερρύηκε·** ὅρα τὸ ἐκρέω.

27. **μειράκιον** καλοῖμεν ἄν τινα μειράκιον πεντεκαίδεκα ἔτη μάλιστα γεγονότα.

## Page 3.

2. **ἀλλάξας ἐμαυτόν·** ἀλλοῖος γενόμενος.

3. **Πάν·** ἴσθι τὸν Πᾶνα θεὸν ὄντα, ὅνπερ θεραπεύουσιν οἵ τε βουκόλοι καὶ οἱ αἰπόλοι· καὶ ἔχει κέρατα ἐπὶ τοῦ μετώπου, ὥσπερ αἴξ, καὶ αἴγεια σκέλη· συρίττει δὲ τῇ σύριγγι.

4. **σῦριγξ·** ὄργανον τῆς μουσικῆς, πολλοὺς καλάμους ἔχον συνδεδεμένους.

8. **σπήλαιον·** ἄντρον. **ἀνδραποδιστὴς** ἂν εἴη ὁ θηρῶν ἄνδρας ἐπὶ δουλείᾳ· τοῦτ' ἐστὶ τὸ ἀνδραποδίζειν, οἱ δὲ δοῦλοι καλοῦνται καὶ ἀνδράποδα.

11. **ὕοντος·** ὕει μὲν ὁ Ζεὺς καταχέων ὑετόν, τοῦτο δ' ὕδωρ ἐστί· καὶ δὴ καὶ ἀστραπὴ καὶ βροντὴ γίγνονται ἐκ νεφελῶν, ἡ μὲν πῦρ οὖσα, ἡ δὲ ψόφος.

14. **χάλαζαν** καλοῦμεν ὑετὸν πεπηγμένον, ὥστε γενέσθαι κρύσταλλον.

29. **μηδαμῶς·** μὴ λέγε οὕτως. **ποθῶ·** πόθος μ' ἔχει καὶ ἵμερος· ἐπιθυμῶ.

## Page 4.

1. **ὑπισχνοῦμαι·** ἐπαγγέλλομαι ποιήσειν, ὑφίσταμαι, ὑποδέχομαι.

2. **λύτρα·** ἀμοιβὴν δοὺς τοῦ λύειν, καὶ μισθὸν σωτηρίας, δοίης ἂν λύτρα· ὥσπερ καὶ ἴατρα ἢ ἰατρεῖα τοῦ ἰᾶσθαι μισθὸς ἂν εἴη. **τριετής·** τρία ἔτη γεγονώς· τριῶν ἐτῶν.

3. **νομή·** νομός· οὗπερ νέμεται τὰ βοσκήματα.

4. **ἀφελής·** γενναῖος ὢν τις καὶ ἄφθονος, ἀφελής ἐστιν. **ἁπλοῦς·** οὐ διπλοῦς, εὐήθης.

6. **χαίρειν ἐῶμεν** ταῦθ' ἅπερ ἀφίεμεν, λανθανόμενοι ὥστε μηκέτι χρῆσθαι.

7. **ἐπουράνιος·** ἐν τῷ οὐρανῷ.

9. **ἀμβροσία·** τὸ ἀθάνατον· ἀθανασία· τροφὴ δ' αὕτη τῶν θεῶν, ὥσπερ καὶ τὸ νέκταρ τῶν θεῶν πόσις.

11. **ἐγχέοι** τις ἂν οἶνον καὶ τὰ τοιαῦτα ἐκ τοῦ πρόχου εἰς τὰ ποτήρια καὶ ἐκπώματα.

15. **ἡλικιώτης** ὁ τὴν αὐτὴν ἔχων ἡλικίαν καὶ τοσαῦτα ἔτη γεγονώς.

17. **ἀστράγαλοι** τῷ ὄντι μὲν ὀστᾶ ἐστι τοῦ τραχήλου·

[104]

ἐχρῶντο δ' αὐτοῖς οἱ Ἕλληνες ὥστε κυβεύειν. ἔβαλλον γὰρ τοὺς κύβους ἐκ πύργου, καὶ οὕτως ἔπαιζον μετ' ἀλλήλων. εἶχον δ' οἱ κύβοι σημεῖα ἐν ἑκάστῳ προσώπῳ, ἕν, δύο, τρία, τέτταρα, πέντε, ἕξ (οἱ δ' ἀστράγαλοι εἰς τὰ τέτταρα μόνον). τὰ δὲ λοιπὰ οἶσθά που· τί μήν;

18. **φαιδρὸς** μὲν ὁ οὐρανὸς λάμποντος ἡλίου, φαιδρὰ δ' ἡ ἡμέρα, φαιδρὸν δὲ τὰ χαιρόντων ἀνθρώπων πρόσωπον.

20. **χρήσιμόν** τοι ᾧ χρῆσθαι πάρεστιν. **ποιμαίνουσιν** οἱ ποιμένες τὰς ποίμνας.

22. **οἰνοχοοῦσιν** οἱ οἰνοχόοι τὸν οἶνον ἐκχέοντες.

23. **τετάξῃ·** τεταγμένος ἔσῃ τάξιν ἔχων. **συμπόσιον** γίγνεται ὅπου ἂν συμπίνωσιν οἱ συμπόται· δῆλοι γάρ εἰσι πίνοντες ὁμοῦ.

25. **κισσύβιον·** ποτήριον ξύλινον ᾧ χρῶνται οἱ ἄγροικοι.

27. **διακονῶ·** ὑπηρετῶ· διακονεῖ δὲ διάκονος.

**Page 5.**

4. **ὀρέγω·** προτείνω, προφέρω.

3

5. **Ἥφαιστος·** χαλκεὺς καὶ δημιουργὸς τῶν θεῶν.

6. **βρέφος·** τὸ παιδίον εὐθὺς γενόμενον· γαλαθηνὸν παιδίον.

7. **τεχθέν·** γενόμενον· τίκτει γὰρ τὸ βρέφος ἡ μήτηρ. **μειδιῶ·** γελῶ ἡσύχως ἄνευ ψόφου.

8. **ἀποβησόμενον·** γενησόμενον.

9. **ᾖ·** ἆρα. μή σε λαθέτω ὁ τόνος, διαφέρει γὰρ καὶ τοῦ ἢ καὶ τοῦ ᾗ· δέδοικα δὴ μὴ ἁμάρτῃς.

10. **Ἰαπετὸς** πρῶτος ἦν Τιτάνων, πρεσβύτατος οὖν. σὺ δὲ τίνα λέγοις ἂν παλαιότατον τῶν ἀνθρώπων ἀγγλιστί; **πανουργία·** κακουργία, ἐπεὶ πάντ' ἂν ποιοίη ὁ κακοῦργος ὥστε ἔχειν ἃ ἂν βούληται.

12. **ἀρτίτοκος·** νεογέννητος, νεογνός· ἄρτι γεγονώς.

[105]

13. **Ποσειδῶν** ἀδελφὸς μὲν τοῦ τε Διὸς καὶ τοῦ Ἅιδου, βασιλεὺς δὲ τῆς θαλάττης· ἐφόρει δὲ τρίαιναν· καὶ δὴ καὶ ἡ τρίαινα ὄργανον τρεῖς ὀδόντας ἔχον, ᾧπερ ῥαχίζουσιν ἰχθῦς οἱ ἁλιῆς.

15. **κολεός·** ἐν ᾧ κεῖται τὸ ξίφος. **ἀφοπλίζω·** ἀφαρπάζω τὰ ὅπλα.

18. **σπάργανα·** ἐν τούτοις αἱ τροφοὶ τυλίττουσι τὰ βρέφη, ἀντὶ ἐσθῆτος χρώμεναι.

21. **ἐργαλεῖον·** ὄργανον ἔργου.

24. **ἐπίσκεψαι·** προσβλέπειν καὶ ἐλέγχειν τὸ ἐπισκοπεῖν. **ἀκριβῶς·** εὖ, καθ' ἕκαστα.

25. **πυράγρα·** ὄργανον τοῦ τοὺς ἄνθρακας κατέχειν. οὐ γὰρ εἶδες καὶ σὺ ἐν ὑμετέρου πυράγραν παρὰ τῇ ἑστίᾳ κειμένην;

## Page 6.

1. **ὀξύχειρ·** ὀξεῖαν χεῖρα ἔχων.

2. **κλεπτική·** τέχνη τῶν κλεπτῶν.

4. **στωμύλος·** λάλος, λαλῶν, πολλὰ λέγων. **ἐπίτροχος·** τρέχων τάχιστα· ἐνταῦθα δὲ τρέχει ἡ γλῶττα τοῦ βρέφους.

5. **προκαλοῦμαι·** καλοῦμαι πρὸς ἅμιλλαν καὶ ἀγῶνα. **καταπαλαίω·** παλαίω ὥστε καταβάλλειν τινά.

6. **ὑφελών·** ὑφαιρεῖ τὼ πόδε σφάλλων τίς τινα, ὥστε καταπεσεῖν χαμαί. **μεταξὺ ἐπαινούμενος·** ἐν ᾧ ἐπαινοῦσιν αὐτὸν οἱ ἄλλοι.

7. **Ἀφροδῖτη·** ἡ θεὸς τοῦ ἔρωτος. **κεστός·** ζώνη τῆς Ἀφροδίτης.

8. **ἀσπάζομαι·** περιβάλλω τὰς χεῖρας.

9. **κεραυνός·** τοῦτον καταρρίπτει ὁ Ζεὺς ἀστράπτων τε καὶ βροντῶν.

10. **ὑφείλετο·** ἔκλεψεν.

11. **γοργός·** δεινότατος.

13. **τεκμαίρομαι·** ἐννοῶ χρώμενος τεκμηρίοις.

14. **χελώνη·** tortoise.

15. **συμπήγνυμι·** συζεύγνυμι βεβαίως πολλὰ εἰς ἕν. **πῆχυς·** χείρ· κέρας. **ἐναρμόζω·** ἐμπήγνυμι ὥστ' εὖ κατακεῖσθαι. **ζυγῶ·** ζεύγνυμι.

16. **κόλλαβος·** κόλλοψ· οἱ δὲ κόλλοπες πάτταλοι. **μαγάς·** ζυγόν.

17. **μελῳδῶ·** μέλος ἐστὶν ᾠδή, ἡδὺς ἦχος.

18. **ἐναρμόνιος·** ἔχων ἁρμονίαν, εὖ ἠχῶν. **κιθαρίζω·** τῇ κιθάρᾳ χρῶμαι.

21. **δηλαδή·** δήπου· δῆλα ταῦτα δή. **ὑπόπτερος·** πτέρυγας ἔχων.

22. **ῥάβδος·** βακτηρία.

23. **ψυχαγωγῶ·** τὰς ψυχὰς ἄγω τῶν ἀποθανόντων.

24. **παίγνιον·** ᾧ ἂν παίζωμεν, παίγνιον τοῦτο.

25. **τοιγαροῦν·** διὰ ταῦτα, οὖν, ἄρα.

4

## Page 7.

1. **Ἥφαιστον** ἤδη διηγησάμεθα δημιουργὸν εἶναι καὶ χαλκέα τῶν θεῶν· περὶ οὗ καὶ τοιάδε φασίν· χωλὸν μὲν εἶναι τὸν ἕτερον πόδα· γεγαμηκέναι δὲ τὴν Ἀφροδίτην· καὶ πεποιηκέναι θαύματα πολλά, αὐτομάτους τε δίφρους καὶ τρίποδας.

Δία δέ φασι καταπιεῖν τὴν νύμφην Μήτιδα· μετὰ δὲ ταῦτα μεταπέμψασθαι τὸν Ἥφαιστον, τούτου δὲ πλήξαντος τὴν τοῦ Διὸς κεφαλὴν τῷ πελέκει, ἀναπηδᾶν ἐκ τῆς κεφαλῆς τὴν Ἀθηνᾶν ὡπλισμένην.

4. **διακόπτω·** διατέμνω, σχίζω.

7. **πειρᾷ·** πεῖραν ποιεῖ σύ, ὥστε ἐλέγχειν· ζητεῖς. **μέμηνα·** μανία μ' ἔχει, μαίνομαι· παραφρονῶ· οὔκ εἰμι ἐν ἐμαυτοῦ.

10. **ἀπειθῶ·** οὐ πείθομαι.

11. **καθικνεῖσθαι·** καταπλήττειν πελέκει ἢ μάστιγι ἢ βακτηρίᾳ ἢ ἄλλῳ τινί. **μέλλομεν** ποιεῖν ἃ ἂν μηκέτι ποιῶμεν, ὥστε χρόνον ἐγγίγνεσθαι. διατρίβομεν χρόνον, δέον ποιεῖν.

12. **ὠδίς·** ἄλγος καὶ ἀλγηδὼν καὶ ὀδύνη μεγίστη· ἀλγεῖ δὴ τὴν κεφαλὴν ὡς μάλιστα ὁ Ζεύς. **ἐγκέφαλος·** τί δῆτ' ἔνεστιν ἐν τῇ σῇ κεφαλῇ, ὦ παῖ; εἰδὼς γὰρ τοῦτο, εἴσῃ ὅτι ἐστὶν ὁ ἐγκέφαλος.

14. **ὅρα μὴ ποιήσωμεν·** δέδοικα μὴ ποιήσωμεν, ὥστε ἐπιμελοῦ καὶ φυλάττου.

15. **ἀναιμωτί·** ἄνευ αἵματος.

16. **θαρρῶν·** ἄνευ φόβου.

17. **τὸ συμφέρον·** ὃ συμφέρει, τὸ δέον, τὸ εὖ.

[107]

18. **ἄκων·** οὐχ ἑκών, οὐχ ἑκούσιος.

19. **ἔνοπλος·** ἐν ὅπλοις, ἔχων ὅπλα, ὡπλισμένος.

21. **μῆνιγξ** ὥσπερ σάκκος τις ἐστίν, ἐν ᾧ κεῖται ὁ ἐγκέφαλος.

22. **ἦ που·** οἶμαι.

23. **πηδᾷ·** ἅλλεται. **πυρριχίζει·** οἱ πυρριχισταί, ὁπλῖται ὄντες, ἐχόρευον τὴν πυρρίχην, χορὸν ὄντα.

24. **ἐνθουσιάζει** ὁ κατεχόμενος ὑπὸ θεοῦ ἢ Νυμφῶν· ὅμοιος δ' ὁ ἐνθουσιασμὸς τῇ μανίᾳ.

26. **γλαυκῶπις·** γλαυκοὺς ἔχουσα τοὺς ὀφθαλμούς. **ἡ κόρυς** σῴζει κεφαλὴν ὁπλίτου.

27. **μαίωτρα·** μισθὸς τῆς γεννήσεως τοῦ βρέφους. **ἐγγυᾶν·** ὁ πατὴρ ἐγγυᾷ τινι τὴν θυγατέρα ὅταν ὑπόσχηται ἐκδιδόναι αὐτὴν γυναῖκα.

**Page 8.**

2. **τό γ' ἐπ' ἐμοί·** ὅσον γε δύναμαι.

5

8. **Ἀσκληπιός**, ἄνθρωπος ὢν πρῶτον καὶ ἰατρὸς ἄριστος, εἶθ' ἥρως ἐγένετο, καὶ μετὰ ταῦτα θεός. οἱ δὲ ἀεὶ νοσοῦντες ἐφοίτων ὡς αὐτὸν εἰς τὸ Ἀσκληπιεῖον, ἵνα ὑγιεῖς γένοιντο· πρὸς τοῦτο δὴ ἐνεκάθευδον ἐν τῷ Ἀσκληπιείῳ, ὡς ὑπηρετήσοντος τοῦ θεοῦ.

**Τὸν δ' Ἡρακλέα** τίς οὐκ οἶδεν ὅστις ἦν; υἱὸς μὲν ἦν Διὸς καὶ Ἀλκμήνης, ἥρως δ' ἰσχυρότατος· βρέφος γὰρ ὢν ἔτι δύο δράκοντας τοῖν χεροῖν ἄγχων διέφθειρεν· ὀκτωκαίδεκα δ' ἔτη γεγονὼς ἀνεῖλε τὸν ἐν Κιθαιρῶνι λέοντα· καὶ μετὰ ταῦτα πολλὰ καὶ ἄλλα ἐποίει, τοὺς λεγομένους ἄθλους, δώδεκα τὸν ἀριθμόν, ὧν πρῶτος ὁ ἐν Νεμέᾳ λέων.

10. **ἐρίζω·** ἔριν ποιοῦμαι· ἀγωνίζομαι. **ἀπρεπῆ** τὰ μὴ πρέποντα· ταῦτα δ' οὐ χρεὼν ποιεῖν.

12. **φαρμακεύς·** ὃς φαρμάκοις φθείρει ἢ βλάπτει.

13. **προκατακλίνεσθαι·** παρὰ δείπνῳ κλίνεσθαι πρότερος.

15. **ἐμβρόντητος·** κεραυνωθείς, κεραυνῷ πεπληγμένος.

[108]

ὁ γὰρ Ἀσκληπιὸς ὑπὸ Διὸς ἐκεραυνώθη, ἐν ᾧ ἐπειρᾶτο ἰᾶσθαι τὸν Γλαῦκον, νεκρὸν ὄντα, ὥστε ἀναβιώσκεσθαι.

16. **ἃ μὴ θέμις·** ἃ μὴ δεῖ· οὐ γὰρ ἔξεστι ποιεῖν ζῆν τοὺς νεκρούς. **ἔλεος·** οἶκτος.

17. **μετείληφας·** μοῖραν εἴληφας, μετέσχηκας.

19. **καταφλέγω·** κατακαίω. ὁ γὰρ Ἡρακλῆς ἀπέθανε τρόπῳ τοιῷδε. ἡ μὲν Δηιάνειρα, γυνὴ οὖσα τοῦ Ἡρακλέους, ζηλότυπος γενομένη, ἔχρισε χιτῶνα τῷ τοῦ Κενταύρου Νέσσου αἵματι, ὅπερ ἐφύλαττε παρ' ἑαυτῇ ὡς φίλτρον δὴ ἔρωτος ὄν. τὸ δ' ἦν ἰὸς τὸ αἷμα. ἐνδὺς μέντοι ὁ Ἡρακλῆς τὸν χιτῶνα ἔθυεν· θερμανθέντος δὲ τοῦ χιτῶνος ὁ ἰὸς μὲν τὸν χρῶτα ἔσηπε, ὁ δὲ τὸν χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπῶντο δ' αἱ σάρκες αὐτῷ. ἀτὰρ ὁ Ἡρακλῆς πυρὰν ποιήσας ἐπέβη· ἐπιβάντος δέ τις ὑφῆψεν. οὕτω δὴ ἀπέθανεν ὁ Ἡρακλῆς. **ὀνειδίζεις·** λέγεις ὡς ὄνειδος ὄν· τὸ δ' ὄνειδος αἰσχρόν τι.

20. **βεβίωται ἴσα·** βίος ἴσος γέγονεν ἐμοί τε καὶ σοί.

21. **ἐκκαθαίρω·** καθαρὸν ποιῶ.

22. **καταγωνίζομαι·** ἀγῶνα ποιησάμενος νικῶ. **ὑβριστὴς** ὑβρίζει, ὕβριν ποιούμενος.

23. **τιμωροῦμαι·** δίκην λαμβάνω. **ῥιζοτόμος·** καὶ γὰρ ῥίζας τέμνει ὁ ἰατρὸς πρὸς τὰ φάρμακα· ἡ δὲ ῥίζα τὸ κάτω μέρος τῶν φυτῶν τὸ ἐν τῇ γῇ. **ἀγύρτης·** φέναξ καὶ γόης, θαύματα μὲν ἐπαγγέλλων, ποιῶν δ' οὐδὲν ὑγιές.

25. **ἀνδρώδης·** ἀνδρεῖος· πρέπων ἀνδρί. **ἐπιδεδειγμένος·** πεποιηκώς.

26. **ἔγκαυμα** γίγνεται ἐν τῷ σώματι ὅταν πῦρ καύσῃ τὸ σῶμα. **ἰῶμαι·** ἰᾶται ὁ ἰατρὸς ποιῶν ὑγιῆ τὸν νοσοῦντα.

27. **πρῴην·** τρίτη ἡμέρα αὐτηί. **ἡμίφλεκτος** ἂν εἴη τις, ἐὰν κατακαῇ τὸ ἥμισυ. **διεφθαρμένος·** κατατακείς, ἀπολωλώς.

[109]

## Page 9.

3. **ξαίνειν** ἔρια, to card wool. **πορφυρίς·** χιτὼν πορφυροῦς.

4. **Ὀμφάλη·** καὶ γὰρ ὁ Ἡρακλῆς ἤρα οὕτω τῆς Ὀμφάλης, ὥστε δοῦλος γενέσθαι αὐτῆς.

5. **μελαγχολῶ·** μαίνομαι. ἐνομίζετο γὰρ ὁ μανιώδης ὑπὸ μελαίνης χολῆς μαίνεσθαι.

7. **ὀνήσει·** ὄφελος ἔσται, ὠφελήσει· τοῦτο γὰρ τὸ ὀνίνημι.

9. **Παιών·** Ἀπόλλων, ἅτε ἰατρὸς ὤν. **συντριβείς·** τριφθείς, θραυσθείς, ὥστε κόμματα γενέσθαι.

12. **εἰκός·** εὔλογον τὸ εἰκός, καὶ συγγνωστόν.

6

15. **σκυθρωπός·** οὐ φαιδρὸς τὸ πρόσωπον, οὐχ ἱλαρός.

16. **πενθῶ·** πένθος μ' ἔχει, ἐν πένθει εἰμί. ὅταν γὰρ ἀποθανῶσιν οἱ φίλοι πενθοῦμεν. **Λάκων·** ὁ ἐκ τῆς Λακωνικῆς· μεγίστη δὲ πόλις Λακωνική, Σπάρτη ἐστίν.

20. **σχέτλιος·** ἄγριος, σκληρός, δυσάλγητος, ὠμόφρων.

24. **ἀκούσιος·** οὐχ ἑκούσιος· ἄκων, οὐχ ἑκών.

26. **δισκεύω·** δισκῶ, δίσκον ῥίπτω· ὁ δὲ δίσκος κύκλος χαλκοῦς, ὃν ἔρριπτον οἱ νεανίαι καθ' ἅμιλλαν.

## Page 10.

1. **κάκιστα ἀνέμων ἀπολούμενος·** κατάρα αὕτη· ὥσπερ μὲν γὰρ λέγομεν κάκιστα ἀνθρώπων, τοῦτ' ἐστὶ κακὰ πάντων μάλιστα, ὥστ' οὐκ ἂν γένοιτο κάκιον, οὕτως ἐνταῦθα περὶ ἀνέμων. ὁ δὲ νοῦς, κατάρατος ἄνεμος. **φθονῶ·** οἱ φθονεροὶ μισοῦσι τοὺς εὐτυχοῦντας, καὶ βούλονται αὐτοὶ εὐτυχεῖν ἀντ' ἐκείνων.

2. **εἴωθα·** φιλῶ ποιεῖν, ποιῶ ἑκάστοτε κατ' ἔθος· εἴθισμαι· διατελῶ ποιῶν.

3. **Ταΰγετος·** ὄρος τῆς Πελοποννήσου, μεταξὺ ὂν τῆς τε Λακωνικῆς καὶ τῆς Μεσσηνίας· ὑψηλὸν δ' ἐστὶ τὸ ὄρος ὁ Ταΰγετος μυρίους πόδας μάλιστα. οἱ δὲ Σπαρτιᾶται ἐνίκησαν ἂν ῥᾳδίως τοὺς Μεσσηνίους εἴ γε μὴ διὰ τοῦτο τὸ ὄρος.

4. **ἐνσείω·** βίᾳ προσάγω. ὁ γὰρ Ζέφυρος βίᾳ προσέφερε

[110]

τὸν δίσκον τῷ Ὑακίνθῳ.

7. **κατατοξεύω·** ὀιστὸν ἀφίημι ἐκ τόξων. **ἐπισπόμενος·** ἀκολουθήσας, διώξας.

8. **ἄχρι·** οὐ λήγω διώκων, πρὶν ἂν ἀφίκωμαι πρὸς τὸ ὄρος.

9. **ἐχωσάμην·** χώννυμι χῶμα συγχέων γῆν ὥστε σωρὸν γενέσθαι.

**Ἀμύκλαι·** πόλις τῆς Λακωνικῆς, οὐ μακρὰν τῆς Σπάρτης, ἀπέχουσα δ' εἴκοσιν ὡς εἰπεῖν σταδίους. ἐνταῦθα ἦν ἑορτὴ τὰ Ὑακίνθια.

10. **ἄνθος·** τοῦ δ' ἄνθους ὄνομα Ὑάκινθος· ἔστι μὴν σημεῖα ἐπὶ τοῦ ἄνθους, ὅμοια τῷ ΑΙ ἢ τῷ ΑΙΑΙ. καὶ μὴν οἵ γε πενθοῦντες τοὺς νεκροὺς ἔκλαιον λέγοντες αἰαῖ· τοῦτο τἄρ' ἐστὶ τὸ αἰάζειν, καὶ τὸ ἐπαιάζειν τῷ νεκρῷ.

13. **ἀλόγως·** ἄνευ λόγου καὶ νοῦ.

7

16. **Λητὼ** μήτηρ μὲν ἦν Ἀπόλλωνος καὶ Ἀρτέμιδος, ἔτεκε δ' ἐν Δήλῳ νήσῳ· ἡ γὰρ Ἥρα ἐμίσει τὴν Λητώ, καὶ ἐδίωκε, πέμψασα τὸν δράκοντα Πυθώ· ὥστε ἐφοβεῖτο πᾶσα ἡ γῆ μὴ κακόν τι πάθῃ ὑπὸ τῆς Ἥρας, οὐδ' ἔτλη οὐδεμία γῆ δέξασθαι τὴν Λητώ. ἡ δὲ Δῆλος τότε πλώιμός τις νῆσος, ἔπλει γὰρ ὥσπερ ναῦς, ἀλλ' ἀδήλως ὑπὸ τοῦ ὕδατος· αὕτη δὲ δήλη γενομένη ἐδέχετο τὴν Λητὼ ἀσμένη. καὶ πρὶν τὴν Λητὼ ἀφικέσθαι εἰς τὴν Δῆλον, ἔπηξεν ὁ Ζεὺς τὴν νῆσον καὶ ἐρρίζωσεν· ἐνταῦθα δ' ἴσθι τὴν Λητὼ τεκοῦσαν τὼ παῖδε.

20. **Ἥφαιστος** γάρ, υἱὸς ὢν Ἥρας, χωλὸς ἦν καὶ αἰσχρός· ὥστε λέγει κατ' εἰρωνείαν ἡ Λητώ, ὡς εἰκάσαι.

21. **χωλός·** τὸν ἕτερον πόδα οὐκ ἀρτίπους ὤν.

22. **τεχνίτης·** ἔμπειρος τέχνης. **κατακοσμῶ·** πάντα τίθημι ἐν κόσμῳ καὶ παρασκευάζω πάσαις παρασκευαῖς.

23. **σπουδάζω·** θεραπεύω· τὸ δ'

[111]

ἐναντίον ἐστὶ τὸ καταφρονῶ.

24. **ἀρρενικός·** ὥσπερ ἀνήρ.

25. **ὄρειος·** ἐν ὄρεσιν οἰκοῦσα. **Σκυθία·** ἦν γὰρ ἐν Χερρονήσῳ Ταυρικῇ ἄγριον γένος Σκυθῶν, οἳ τοὺς ξένους ἔθυον τῇ αὑτῶν θεῷ· ταύτην δὲ τὴν θεὸν ἐκάλουν Ἄρτεμιδα οἱ Ἕλληνες. περὶ δὲ τούτων πεποίηκεν ὁ Εὐριπίδης τραγῳδίαν, τὴν Ἰφιγένειαν ἐν Ταυροῖς.

26. **ξενοκτονοῦσα·** κτείνουσα τοὺς ξένους.

## Page 11.

1. **ἀνθρωποφάγοι** ἀνθρώπους ἐσθίουσιν.

2. **προσποιεῖται·** ἀξιοῖ οἷός τ' εἶναι, λόγῳ μέν, ἔργῳ δ' οὔ.

3. **μαντεύεται** ὁ μάντις, ὢν προφήτης τῶν θεῶν· καὶ χρῆται μαντείᾳ.

4. **ἐργαστήρια·** οἱ ἐργάται ἐργάζονται ἐν ἐργαστηρίοις· δημιουργοὶ δηλαδή· λέγει δὲ ταῦθ' ὡς καταφρονοῦσα τοῦ Ἀπόλλωνος· φαῦλον γάρ τινα καλεῖ αὐτὸν ἀντὶ θεοῦ, τὰ δὲ μαντεῖα ὥσπερ ἐργαστήρια σκευῶν ἀνθρωπίνων.

5. **ἡ Κλάρος** ἐγγὺς ἦν Κολοφῶνος, ἐν Ἰωνίᾳ τῆς Ἀσίας· ἐν ᾗ μαντεῖον ἦν τοῦ Ἀπόλλωνος. τίς δ' ἀγνοεῖ ἕτερον ὂν ἐν Δελφοῖς; τὰ μέντοι **Δίδυμα** τρίτον μαντεῖον, ἐν Ἰωνίᾳ καὶ αὐτό, οὗπερ οἱ Βραγχίδαι ἱερῆς ἦσαν κατὰ γένος. **ἐξαπατᾷ·** ἀπατᾷ εὖ, ψεύδει, κλέπτει τὸν νοῦν, δολοῖ, παρακρούεται, περιέρχεται. ἀπατᾷ δ' ὃς ἂν λάθῃ ποιῶν.

6. **χρωμένους·** χρῇ μὲν ὁ θεός, χρῶνται δ' αὐτῷ οἱ ἐρωτῶντες· τὰ δ' ὀνόματα χρησμὸς καὶ χρηστήριον. **λοξός·** οὐκ ὀρθός. **ἐπαμφοτερίζοντα·** ἀμφίλογα, δύσκριτα, δυσμαθῆ, ἀμφισβητήσιμα· οἷα ἑρμηνείαν ἐνδέχεται διπλῆν ἐπ' ἀμφότερα.

7. **ἐρώτησις·** ἐρώτημα· τὸ ἐρωτώμενον.

8. **σφάλμα** κτλ. ἵνα μὴ ᾖ κίνδυνος μηδείς, ἐὰν σφαλῇ, καὶ ἐὰν μὴ ὀρθῶς ἀποκρίνηται.

[112]

9. **ἀνόητος·** ἄνευ νοῦ· ὃς ἂν μὴ νοῦν ἔχῃ, μῶρος ὤν. **παρέχοντες** κτλ. ἐῶντες τὸν θεὸν ἐξαπατᾶν αὐτούς.

10. **συνετός·** σοφός, ἐπιστήμων.

11. **τερατεύομαι·** τέρατα καὶ θαύματα λέγω, ἅτε γόης ὢν καὶ φέναξ καὶ ἀγύρτης.

13. **Δάφνη·** ἤρα γὰρ τῆς Δάφνης ὁ Ἀπόλλων, νύμφης οὔσης· καὶ ἐδίωκε· διώκοντα δὲ φεύγει ἡ Δάφνη καὶ φρούδη ἦν, ἀντὶ δὲ τῆς νύμφης ἰδοὺ φυτόν, ὃ καλοῦμεν δάφνην.

14. **κομήτης·** μακρὰν τὴν κόμην ἔχων. οἶσθα δήπου τοὺς ἀστέρας τοὺς κομήτας, διὰ τί οὕτω καλοῦνται. εἰ δὲ μή, φεῦ τῆς ἀμαθίας.

15. **καλλίτεκνος·** ἔχων καλὰ τέκνα. **Νιόβη** ἡ Ταντάλου ἑπτὰ μὲν ἔτεκεν υἱούς, ἑπτὰ δὲ θυγατέρας· δι' ὃ εὐτεκνοτέρα ἔφη εἶναι τῆς Λητοῦς, ἅτε δύο ἐχούσης· διὰ ταῦτ' ἀγανακτήσασα ἡ Λητώ, τήν τ' Ἄρτεμιν καὶ τὸν Ἀπόλλωνα παρώξυνε κατ' αὐτῶν, ὥστε τὰς μὲν θυγατέρας ἐπὶ τῆς οἰκίας κατετόξευσεν Ἄρτεμις, τοὺς δ' υἱοὺς κοινῇ πάντας ἐν Κιθαιρῶνι

κυνηγετοῦντας Ἀπόλλων ἀπέκτεινεν. ἀλλ' ὅμως ἐσώθη τῶν μὲν ἀρρένων Ἀμφίων, τῶν δὲ θηλειῶν Χλῶρις. αὐτὴ δὲ Νιόβη Θήβας ἀπολιποῦσα ὡς τὸν πατέρα Τάνταλον ἧκεν εἰς Σίπυλον, κἀκεῖ τῷ Διὶ εὐξαμένη τὴν μορφὴν εἰς λίθον μετέβαλε, καὶ καταρρεῖ δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ τοῦ λίθου. καὶ δὴ καὶ νῦν ἴστε φανερὸν ὄντα τὸν λίθον ἐγγὺς τῆς Σμύρνης.

17. **ψευδόμαντις·** ψευδὴς μάντις· τὸ δ' ἐναντίον ἂν εἴη ἀληθόμαντις.

21. **ἐγέλασα·** γελῶ ἀκούουσα· χρῶνται γὰρ τῷ ἀορίστῳ οἱ Ἀττικοὶ οὐ μόνον λέγοντες τὰ γεγενημένα, ἀλλὰ καὶ τὰ παρόντα ἐνίοτε, ἐάν τι πάθωσιν ἀπροσδοκήτως. τοιοῦτό τοι καὶ τὸ ἐπῄνεσα ἀντὶ τοῦ ἐπαινῶ ὅτι εἶπας.

22. **Μαρσύας** σάτυρος ἦν, ὃς ἀγῶνα μουσικῆς κατέστησε

[113]

τῷ Ἀπόλλωνι· νικηθεὶς δὲ δίκην ἔδωκε τῷ θεῷ, ἀποδαρεὶς τὸ δέρμα.

23. **νῦν δέ·** ὥσπερ ἐστίν, ὡς ἔχει τὸ πρᾶγμα τῷ ὄντι.

24. **ἁλούς·** νικηθείς.

26. **Ἀκταίων** κυνηγετῶν ἐν ὕλῃ κατὰ τύχην εἶδε τὴν Ἄρτεμιν· ἡ δ' ἀγανακτήσασα ἐποίησε κατακτείνειν αὐτὸν τοὺς κύνας, ὡς θηρίον τι ὄντα δῆθεν.

27. **αἶσχος·** ὅτι αἰσχρὰ ἦν καὶ οὐ καλή.

## Page 12.

1. **ἀδεῶς·** ἄνευ δέους· ἀφόβως. ἀδεὴς γὰρ ὃς ἂν μὴ φοβῆται μηδέν. τὸ δ' ὄνομα, ἄδεια.



6. **κατηγωνίσω·** ἀγωνιζόμενος ἐνίκησας.

7. **Ῥέα·** Κυβέλη μήτηρ θεῶν.

8. **ἄπυρος·** ἄνευ τοῦ πυρός, οὐδὲ καίων οὐδέν. **δᾴς·** πεύκη ἢ ξύλον φλεγόμενον.

9. **ὀιστός·** τόξον. φυλάττουσι δ' οἱ τοξόται τὰ τόξα ἐν φαρέτρᾳ, τὴν δὲ φαρέτραν ἀναδέουσιν ἐπὶ τοῦ νώτου. **ἄστοχος·** ἄνευ στόχον, ἄνευ βολῆς ὀιστοῦ· στοχάζονται γὰρ τοῦ σκοποῦ οἱ τοξόται, στοχασάμενοι δ' ἢ τυγχάνουσι τοῦ σκοποῦ ἢ ἁμαρτάνουσιν αὐτοῦ.

10. **δέδια·** δέδοικα καὶ διὰ δέους εἰμί· φοβοῦμαι. ὃν γὰρ ἂν φόβος ἔχῃ, δέδιεν.

11. **χαροπός·** φαιδρούς τε ἔχων τοὺς ὀφθαλμοὺς καὶ γλαυκούς. τὸ δὲ χρῶμα ταὐτὸ τῇ θαλάττῃ. **ἐντεινάμενος·** ἐπειδὴ παρεσκευασάμην τὸ τόξον ἐντείνας τὸ νεῦρον.

12. **ἐπισείω·** κινῶ ἔνθα καὶ ἔνθα. **λόφος·** ὄγκος κόμης ἐπὶ τῆς κόρυθος. **ἐκπλήττω·** φοβῶ σφόδρα.

13. **ὑπότρομος·** τοιοῦτός τις τρέμει ὀλίγον.

17. **προσίεται·** δέχεται ἄσμενος ὁ προσιέμενος.

18. **ὑφορᾶται·** ὑποβλέπει μεθ' ὑποψίας, ὡς δεινὸν τι προσδοκῶσα.

19. **παρέπτην·** ὅσα πτέρυγας ἔχει, πέτεται.

20. **δοράτιον·** δόρυ.

[114]

21. **διαπείρασα·** διατρήσασα. τετραίνοι δ' ἂν τις, εἰ ὀξύ τι διώσαι διά τινος· αὐτίκα μάλα τὸ κρέας τετραίνει ὀβελοῖς ὁ μάγειρος.

23. **ἀπειλεῖ** ὃς ἂν κακὰ ποιήσειν ὑπόσχηται. **δρῑμύς·** ὠμός, ὀξύς.

24. **ἐχίδναις κατάκομον·** ἔχον ἐχίδνας ἀντὶ κόμης· ἡ δ' ἔχιδνα εἶδος δρακόντων ἂν εἴη.

25. **μορμολύττεται·** φοβεῖται σφόδρα· καὶ γὰρ φοβοῦσι τὰ παιδία αἱ τροφοί, λέγουσαι μορμώ, μορμώ· καὶ μὴν ἥ γε μορμὼ τέρας ἐστίν.

## Page 13.

2. **Γοργώ·** ἦσαν μὲν τρεῖς αἱ Γοργόνες, Σθενὼ Εὐρυάλη Μέδουσα, τούτων δὲ θνητὴ μόνη ἡ Μέδουσα· εἶχον δὲ τὰς κεφαλὰς περιπεπλεγμένας ἐχίδναις, τοὺς δ' ὀδόντας μεγάλους ὡς συῶν, καὶ τὰς χεῖρας χαλκᾶς, καὶ πτέρυγας χρυσᾶς δι' ὧν ἐπέτοντο· ἐποίουν δὲ λίθους τοὺς ἰδόντας. ἀτὰρ τῆς Μεδούσης τὴν κεφαλὴν ἐπειδὴ ἀπέταμεν ὁ Περσεύς, ἀπέδωκε τῇ Ἀθηνᾷ· ἡ δ' Ἀθηνᾶ ἐφόρει τὴν κεφαλὴν ἐπὶ τῆς λεγομένης αἰγίδος.

ἀλλὰ τὰ τοῦ Περσέως, ὅπως ἀπέκτεινε τὴν Μέδουσαν, μῦθος ἄξιος μὲν ἀκούειν, μακρὸς δὲ λέγειν· ὥστ' ἀναβάλλομαι τοῦτό γε εἰς καιρόν.

3. **ἄτρωτος·** ἄνευ τραύματος, οὐ τραυματισθείς. τραῦμά τοι γίγνεται ὅταν τις τιτρώσκῃ, δόρατι ἢ τόξῳ βαλὼν ἢ ξίφει παίσας. **ἔξω βέλους** οὗτός ἐστιν, ὃς ἂν πορρωτέρω ἀπῇ ἢ ὥστε τυγχάνειν τῷ βέλει.

6. **αἰδοῦμαι·** αἰδώς μ' ἔχει, αἰσχύνομαι.

8. **κηλῶ·** ἐπᾴδω· προσάγομαι τῇ ἐπῳδῇ.

19. **ἑκηβόλος·** ὁ βάλλων μακρὰν τὰ βέλη.

9

22. **γαλήνη** γίγνεται, ὅταν ἡσυχάζῃ ἡ θάλαττα. ἐνταῦθα διαλέγεται ὡς νύμφη οὖσα.

25. **συνεστιῶμαι·** ἡ μὲν ἑστίασις δεῖπνον μέγιστον·

[115]

ὁ δ' ἑστίασιν διδοὺς τοῖς φίλοις ἑστιᾷ αὐτοὺς ἑστιάτωρ ὤν· οἱ δ' ἑστιῶνται.

26. **ἀκύμαντος·** ἄνευ κυμάτων.

**Page 14.**

3. **Θέτις** νύμφη ἦν θαλαττία, Πηλεὺς δ' ἔγημε τὴν Θέτιν καὶ ἐγέννησε τὸν Ἀχιλλέα.

4. **Ἀμφιτρίτην** ἔγημε Ποσειδῶν.

6. **λαθοῦσα·** λανθάνοι τις ἄν, εἰ μηδεῖς βλέποι.

7. **κροτῶ·** χαίροντες κροτοῦμεν τὰς χεῖρας.

10. **κυλινδεῖται** ἐπὶ γῆς σφαῖρα ἀφιεμένη.

11. **ἐξεπίτηδες·** ἐπίτηδες, ἐκ παρασκευῆς, ἑκουσίως.

13. **ἀναγιγνώσκει** τις γράμματα, λέγων τε καὶ εἰδὼς τὸν νοῦν.

14. **Νηρηΐς·** νύμφη θαλαττία· Νηρεὺς γὰρ ὁ Πόντου θεὸς μὲν θαλάττιος, πατὴρ δὲ τῶν Νηρηΐδων.

15. **ἀντιποιοῦμαι·** ἀξιῶ ἔχειν.

18. **προχωρεῖν** πόρρω ἰέναι.

27. **διαιτητής·** ἐάν τινες ἀμφισβητῶσι περί τινος πράγματος, καὶ ἐπιτρέπωσιν ἄλλῳ τὸ πρᾶγμα κρῖναι, διαιτητὴς μὲν οὗτος, δίαιτα δὲ ἡ πρᾶξις.

28. **ἀμβλυώττω·** ἀμβλὺς μὲν ὁ μὴ ὀξύς· ὃς δ' ἂν ἀμβλυτέρους ἔχῃ τοὺς ὀφθαλμούς, ἀμβλυώττει, ὥστε μὴ εὖ καθορᾶν.

## Page 15.

5. **βουκόλος** νέμει βοῦς.

8. **δικάζω·** δικαστής εἰμι, καὶ κρίτης, ὥστε κρίνειν τὰ ἀμφισβητούμενα.

9. **ἆθλον·** μισθὸς ἀγῶνος. διὰ ταῦτα καλοῦνται οἱ ἀγωνιζόμενοι ἀθληταί.

11. **ἀπωθοῦμαι** κτλ. οὐκ ἐθέλω διαιτητὴς γενέσθαι, ἐπειδὴ φιλῶ ὑμᾶς οὐχ ἄλλην ἀλλὴς μᾶλλον, ἀλλὰ πάσας ὁμοίως.

12. **εἴ γε ἦν·** (ἀλλ' οὔκ ἐστιν). **ἡδέως·** ἀσμένως.

14. **καλλιστεῖον·** ἆθλον τοῦ κάλλους. οὕτω καὶ ἀριστεῖον τὸ τῆς ἀρετῆς ἆθλον. **ἀπεχθάνεσθαι·**

[116]

ἐχθρὸς γενέσθαι, μισεῖσθαι.

15. **ἐπιτήδειος·** πρέπων.

18. **ἀφελής·** ἁπλοῦς, γενναῖος. **ἀπαξιῶ·** οὐκ ἄξιον εἶναι νομίζω.

20. **Μῶμος·** ὁ Νυκτός, ὥσπερ θεός τις· ἀλλ' ἐστὶ τῷ ὄντι μῶμος μομφή. οὗτος οὖν ὁ Μῶμος μέμφεται πάντα πᾶσιν.

22. **μωμῶμαι·** μέμφομαι.

23. **ἀρέσκω·** ἐάν τι μοι ἀρέσῃ, δέχομαι αὐτὸ ἡδέως.

25. **ἐπιτραπῇ·** ἐάν τις ἐπιτρέπῃ δίαιταν τῷ δεῖνα, ὁ δεῖνα ἐπιτρέπεται τὴν δίαιταν.

## Page 16.

2. **ἐρυθριῶ** ἐρυθρὸς γενόμενος τὰς παρειάς.

3. **ἐπινεύω·** ἐπαινῶ, φημί. τὸ δ' οὔ φημι, ἀνανεύω. καὶ γὰρ αἴρουσι μὲν οἱ Ἕλληνες τὴν κεφαλὴν ἐὰν ἀπαρνῶνται· καθιᾶσι δ', ἐὰν ἀγαπῶσιν.

8. **ἡγοῦμαι·** ἡγεμών εἰμι, πορεύομαι πρῶτος, ἄγω. **ἀκολουθεῖ** δ' ὁ ἑπόμενός τε καὶ ὕστερον πορευόμενος.

10. **ἱκανός·** δυνατός, οἷός τε· ὅπερ ἅλις, τοῦθ' ἱκανόν.

12. **πρὸς ἐμοῦ** κτλ. ὅτι δίκαιος ὁ δικαστής, τοῦτο χρήσιμον ἐμοί.

19. **προσέχειν·** τὸν νοῦν προσέχειν.

21. **ἄλλως·** μάτην· μηδὲν ἔχων ἐν νῷ, ἄλλως ποιοίη τις ἄν.

22. **ἰδίᾳ·** χωρὶς τῶν ἄλλων. **κοινολογοῦμαι·** λόγους ποιοῦμαι μετά τινος.

25. **πολυπραγμονῶ·** πολλὰ πράττω καὶ μὴ πρέποντα. αὕτη δὲ πολυπραγμοσύνη ἢ ἀλλοτριοπραγμοσύνη.

## Page 17.

2. **φιλόδοξος·** ὃς ἂν φιλῇ τὴν δόξαν.

3. **εἰκάζομεν** ἃ μὴ ἴσμεν, ἐὰν τεκμήρια ἔχωμεν.

4. **ὀρέγομαι·** ποθῶ, χρῄζω.

6. **ἐγκαλῶ·** ὁ ἀδικούμενος ἐγκαλεῖ τῷ ἀδικοῦντι τὴν ἀδικίαν· τοῦτο δ' ἔγκλημα.

7. **μεμψίμοιρος** ἐκεῖνος, ὃς ἂν μέμφηται τοῖς θεοῖς ὅτι τοιαύτην δεδώκασι μοῖραν.

9. **σχεδόν·** μόνον οὐ· σχεδὸν ταῦτα, παραπλήσια.

[117]

10. **μειονεκτεῖν·** μεῖον ἔχειν, μὴ ἴσον ἔχειν ἀλλ' ἔλαττον. τὸ δ' ἐναντίον, πλεονεκτεῖν καὶ πλεονέκτης.

11. **μεταξύ·** ἐν μέσῳ.

18. **λαιός·** ἀριστερός.

19. **πλευρά·** δύο πλευρὰς ἔχει ἕκαστος· ἔστι δὲ τῷ ὄντι ἡ πλευρὰ ὀστοῦν· καὶ ἔχομεν ἐν τῷ σώματι πολλὰς πλευράς, τὰς μὲν ἀριστερὰς τὰς δὲ δεξιάς.

22. **βοΐδιον·** μικρὸς βοῦς. λέγοι δ' ἄν τις καὶ καταφρονῶν καὶ ὑποκοριστικῶς τὸ βοΐδιον.

24. **σκόπελος·** τὸ ἄκρον τοῦ ὄρους. **θέω·** τρέχω. **καλαῦροψ·** βακτηρία ἀγροίκων καὶ κυνηγετῶν.

25. **ἀνείργω·** κωλύω. **σκίδνημι·** σκεδάννυμι, διασπείρω πανταχοῦ.

28. **πλησίον·** ἐγγύς.

29. **βαδίζω·** βαίνω, ὁδοιπορῶ.

## Page 18.

5. **ἔμπειρος** ὃς ἂν ἐμπειρίαν ἔχῃ, εὖ εἰδὼς περὶ ὁτουοῦν πράγματος.

7. **Ἀγχῖσης** γὰρ ἀνὴρ ἦν τῆς Ἀφροδίτης, πατὴρ δ' Αἰνείου.

9. **σκῶμμα·** οἱ σκώπτοντες πειρῶνται γέλωτα ἐμποιεῖν· τοῦτο δὲ σκῶμμα.

11. **ἐνδιέτριψα·** χρόνον διέτριψα ἐν Ἴδῃ, πρὶν καὶ νῦν ἀφικέσθαι.

13. **κουφίζω·** αἴρω, ὥστε κοῦφον δοκεῖν καὶ μὴ βαρύ.

18. **τιᾱ́ρᾱ** καὶ κυρβασία καὶ πῖλος καλεῖται· τὸ δὲ σχῆμα τοιοῦτο, οἷον παρ' ἡμῖν ἐφόρουν ποτὲ οἱ Γαλλοὶ οἱ ἐλευθερίαν ἰσομοιρίαν φιλαδελφίαν ἐπαινοῦντες.

26. **πλανῶμαι·** πορεύομαι ἔνθα καὶ ἔνθα· ἆρ' οὐ μέμνησαι τῶν πλανήτων ἀστέρων;

## Page 19.

1. **ἀποστέλλω·** ἀποπέμπω. **ὠχριᾷ** τις ὅταν λευκὸς γένηται ὁ χρώς, εἴτε διὰ φόβον εἴτε δι' ἄλλο τι.

10. **παράδοξα** τὰ παρὰ δόξαν γενόμενα, τὰ μὴ κατὰ δόξαν· ἀλλοῖα τοῦ εἰκότος. **μεῖζον ἢ κατὰ βουκόλον**, ἐπειδὴ οὐχ ὁρῶσι τοιαῦτα οἱ βουκόλοι, οὐ γὰρ πάρεστιν.

11. **ἁβρός·** μαλθακὸς καὶ κομψὸς καὶ τρυφῶν τις. **ἀστικός·** τοῦ ἄστεος· ἐναντίος τοῦ ἀγροίκου.

17. **ἐπερείδεται** ἡ ὄψις, ὅταν τις βεβαίως ἀποβλέπῃ πρός τι. **ἔχομαι·** ἀντιλαμβάνομαι.

[118]

20. **περικέχυται** κτλ. ἔστι γὰρ ὁ βουκόλος ἐν μέσῳ αὐτῶν κάλλος στιλβουσῶν, ὥσπερ ἐν ἡλίου φάει.

22. **Ἄργος**, φύλαξ τῆς Ἰνοῦς, ὁ πανόπτης λεγόμενος, ὀφθαλμοὺς εἶχεν κατὰ πᾶν τὸ σῶμα.

24. **συμβέβηκε·** τετύχηκε· γέγονε κατὰ τύχην τινά.

27. **ἀναδύομαι·** ἀποκνῶ ὥστε μὴ ποιεῖν· τὸ δ' ἀναδῦναι τὸ ἀποφυγεῖν.

## Page 20.

2. **ἁμαρτία** γίγνεται ὁπόταν ἁμάρτωμεν τοῦ εὖ, ὥσπερ μὴ τυχόντες τοῦ σκοποῦ.

3. **περαίνω·** τὸ πᾶν ποιήσας τελῶ καὶ τελευτῶ· κυρίως δὲ περαίνομεν ποταμὸν καὶ θάλατταν καὶ ὁδόν, διαβαίνοντες.

7. **φαρμακίς·** γυνὴ ἔμπειρος φαρμάκων. αὗται δὴ γοητεύουσι τοὺς πιστεύοντας.

9. **καλλωπίζω·** καλὸν ποιῶ. **ἐντετριμμένην χρώματα·** ἥτις ἐνετρίψεν ἑαυτῇ χρώματα.

13. **ψῖλός·** γυμνός.

15. **ἐλέγχω·** ἐξετάζω. ἐλέγχου δὲ γενομένου πάντα τοιαῦτ' ἂν φαίνοιτο, οἷα καὶ ἔστι.

19. **τεράστιος·** τέρατα καὶ θαύματα ποιῶν.

22. **γλαφυρός·** χαρίεις, κομψός, ἥδιστος. **προσαγωγός·** ὃς ἂν προσάγῃ τι πρὸς ἑαυτόν.

25. **ἀμφίβολος·** οὐκ εἰδὼς τί ποιῇ.

26. **σπῶ·** ἕλκειν τὸ σπᾶν. εἴ τις εἷλκεν, ἔσπα ἄν.

## Page 21.

2. **ψῆφος·** λίθος· οἱ γὰρ δικασταὶ δικάζοντες ψήφους καταβάλλουσιν εἰς ὑδρίας δύο, εἰς μὲν τὴν ἑτέραν ἐὰν ἀποψηφίζωνται καὶ ἀπολύωσιν, εἰς δὲ τὴν ἑτέραν ἐὰν καταγνῶσίν τινος.

4. **τὰ ἡμέτερα·** ἡ κρίσις ἡ ἐμή.

5. **πεπράξεται·** τετελεσμένα ἂν εἴη, οἶμαι.

8. **πολεμιστής·** δεινὸς πολεμεῖν.

18. **ὁποῖον** κτλ. σὺ καλὸς εἶ, εἴ τις καὶ ἄλλος· ὁρῶ δὲ σὲ εἴ τινα καὶ ἄλλον, καλὸν ὄντα.

19. **μακαρίζω·** νομίζω μάκαρα καὶ εὐδαίμονα δή.

20. **αἰτιῶμαι·** μέμφομαι, κατηγορῶ.

22. **ἐρημία** νῦν ἦν ἄν, εἰ μηδεὶς παρῆν ἐνταῦθα.

[119]

23. **ἀπολαύω·** γεύομαι· μετέχω. **ἀπονίνημι·** ὄφελος δίδωμι· οἱ δὲ λαβόντες ἀπόναιντ' ἄν.

25. **χωρῖτις·** γυνὴ τῆς χώρας.

## Page 22.

6. **κύκνου·** καὶ γὰρ πατὴρ ἦν ὁ Ζεὺς κύκνος γενόμενος· ἡ δὲ Λήδα λέγεται τεκεῖν δύο ᾠά, καὶ ἐξ ἑτέρου μὲν ἐξελθεῖν τὴν Ἑλένην, ἐκ δ' ἑτέρου Κάστορά τε καὶ Πολυδεύκην.

9. **γυμνάς·** εὖ γεγυμνασμένη, ἔμπειρος τῆς γυμναστικῆς.

10. **περισπούδαστος** κτλ. τοσοῦτοι ἐβούλοντο γαμεῖν.

11. **ἄωρος·** πρὶν ὥραν γάμου εἶναι.

12. **οὐ μὴν ἀλλά·** πρὸς τούτοις, ὅμως. οὐδὲν κωλύει μὴ οὐ καὶ τοῦτ' εἶναι.

13. **μνηστεία** ἐστι, ὅταν μνηστῆρες μνηστεύωσι γυναῖκα, ζητοῦντες αὐτὴν γαμεῖν.

14. **ἀπαντῶσιν** οἱ συνελθόντες εἰς ἕνα τόπον.

21. **ἀποδημεῖ** ὃς ἂν ἀπολίπῃ τὴν πατρίδα· κατελθὼν δὲ ἐπιδημεῖ. εἰ γὰρ σὺ νῦν ἐν Ἑλλάδι ἦσθα, ἀπεδήμεις ἄν. **εἰς θέαν·** ὥστε θεᾶσθαι καὶ ὁρᾶν.

## Page 23.

6. **προμνήστρια** παρασκευάζει τὸν γάμον· γραῦς δ' ἐστὶν αὕτη, καὶ διαλέγεται τοῖς τοκεῦσι τοῦ τε νυμφίου καὶ τῆς νύμφης. νυμφαγωγὸς δ' αὖ καλεῖται διότι προσάγει τὴν νύμφην. **ἀμείβομαι·** ἀμοιβὴν ποιοῦμαι, διδούς τι ἀντί τινος.

8. **ἑορτάζω·** ἑορτὴν ἄγω. ἦν γὰρ ἔθος ἑστιᾶν τοὺς φίλους καὶ ὁπότε γαμοίη τις καὶ ὁπότε νικήσαι τοῖς ἀγῶσιν.

9. **ἔνεστιν·** πάρεστιν, δυνατόν ἐστιν. ἔνεστι μὲν τῷ δυναμένῳ· ἔξεστι δὲ ἐὰν μηδεὶς κωλύῃ· πάρεστι δ' ὃ ἂν οἷόν τ' ᾖ γενέσθαι.

11. **ἀμελῶ** τινος, ἐὰν μηδέν μοι μέλῃ.

12. **ἐπομνύναι, ἐπόμνυσθαι·** ἐάν τις λέγῃ ὅρκον προσθείς, ἐπόμνυσιν.

[120]



22. **ὑπεροπτικά·** ὡς καταφρονῶν. **ἀπίθανα·** οἷα οὐκ ἂν εἴη ἀληθῆ.

23. **σειρά·** σχοινίον, ἅλυσις.

24. **κρεμάννυμι·** ἐάν τι ἀπαρτηθῇ ἀπὸ τοῦ ἄνω, ἐκρεμάσθη. **βιάζομαι·** βίᾳ πειρῶμαι.

## Page 24.

1. **μετεωρίζω·** ἄνω ἀνέλκω· ἀνασπῶ.

3. **ἀρνοῦμαι·** οὔ φημι.

4. **ὑπερφέρω·** ὑπερβάλλω, ἰσχυρότερός εἰμι.

5. **κἄν·** καὶ ἐάν.

8. **φλυᾱρία·** λῆρος. φλυαρεῖ δέ τις λέγων μάταια.

10. **στέγοι ἂν τἀπόρρητα** ὃς μηδὲν λέγοι ἀλλὰ κρύπτοι πάντα.

11. **γελοῖος·** ἄξιος γέλωτος.

14. **ἐπανίστασθαι·** ἐπανάστασιν ποιεῖσθαι· τὸ ἔριν καὶ στάσιν ποιεῖσθαι τοῖς ἐν τέλει, τοῦτ' ἐστὶ τὸ ἐπαναστῆναι. **ἐπιβουλεύουσι δ'** οἱ λάθρα ποιούμενοι βουλὴν κοινῇ· αὕτη δ' ἐπιβουλή.

15. **παντοῖος ἦν δεδιώς·** ἐς πᾶσαν ἰδέαν φόβου κατέστη.

17. **ἐλεήσασα·** οἰκτίσασα, δι' οἴκτου οὖσα. **Βριάρεως** γίγας ἦν ἑκατὸν χεῖρας ἔχων.

18. **αὐτῷ κεραυνῷ·** ἅμα τῷ κεραυνῷ, καὶ μετὰ τούτου.

19. **ἐπῄει μοι·** εἰς τὸν νοῦν εἰσῆλθεν. **κόμπος** ἐστίν, ἐάν τις μέγα λέγῃ, μείζω μὲν οὖν ἢ ὥστε δύνασθαι.

20. **ἀσφαλής·** ἀκίνδυνος· οὐκ ἔστι γὰρ ὅπως οὐ σφάλλεται ὁ ἁμαρτῶν.

Ἐὰν σὺ ἀναγιγνώσκων μὴ συνίῃς ὅ τί ποτ' ἐστὶν ὁ μῦθος οὗτος, ζήτει ἐν βιβλίῳ ὀγδόῳ τῆς Ἰλιάδος· καὶ ἤδη κατ' ἀρχὴν ἀκούσῃ τοῦ Διὸς οὕτω πως λέγοντος.

## 12

Ὅδε ὁ διάλογος περὶ Φαέθοντος συγγέγραπται.

25. **ἅρμα·** ἅμαξα, δίφρος, ἐλαύνει τοι τέθριππον ὁ Ἥλιος.

26. **κρύος·** ψῦχος, ψυχρότης.

[121]

## Page 25.

1. **κομίζω·** φέρω. **συνταράττω·** ἄνω κάτω ποιῶ ἅπαντα.

2. **συνείς·** τὸ ἐπίσταμαι ταὐτὸ τῷ συνίημι.

3. **λείψανον·** τὸ λελειμμένον· μικρόν τι μέρος λειφθέν.

4. **ἡνίοχος** οὗτος ὃς ἡνιοχεῖ, ἔχων τε τὰς ἡνίας καὶ ἐλαύνων τοὺς ἵππους· οὕτω καὶ ὁ διφρηλάτης ἐλαύνει τὸν δίφρον.

6. **χαλεπαίνω·** χαλεπῶς φέρω καὶ ὀργίζομαι.

7. **ἱκετεύω·** λιπαρῶ· αἰτῶ μετ' εὐχῆς καὶ λιτῆς.

8. **τηλικοῦτος·** οὕτω μέγας.

9. **ἀκρί̄βεια·** τὸ ἀκριβές, τὸ πάντ' εἶναι κατὰ κόσμον καὶ ὡς δεῖ.

10. **οἴχεται·** ἀπόλωλεν, διεφθάρη.

11. **θῡμός·** ὀργή, λῆμα.

12. **συνέχω χαλῑνόν·** ὀπίσω σπῶ αὐτόν, οὐδὲ χαλῶ.

19. **ἀντεῖχον** κτλ. ἠναντιούμην μὴ ἐλαύνειν, οὐδ' ἤθελον παραδοῦναι αὐτῷ τὸ τέθριππον.

20. **καταλῑπαρῶ·** ἱκετεύων κρατῶ, ὥστ' ἔχειν τοῦθ' ὃ βούλομαι.

21. **ἀναβιβάζω·** ποιῶ ἀναβαίνειν. **ὑπεθέμην·** ἐδίδαξα.

23. **κατάντης·** κλινόμενος κάτω.

24. **ἐγκρατής·** κράτος ἔχων· νωμῶν.

25. **ἡλίκος·** ὡς μέγας.

26. **ὀρθήν·** προσθὲς τὸ ὁδόν.

27. **ἐπικύπτω·** προτείνων τὴν κεφαλὴν καθορῶ. **ἐξεπλάγη·** φόβῳ τοι ἐκπληττόμεθα.

## Page 26.

2. **ἀφείς·** ἀποβαλών.

3. **ἄντυξ·** κωλύει ἡ ἄντυξ μὴ ἐκπεσεῖν τινα ἐκ τοῦ δίφρου· ἀλλὰ τόν γε Φαέθοντα οὐκ ἐκώλυσεν ἡ ἄντυξ μὴ οὐκ ἐκπεσεῖν.

4. **πένθος·** ἄλγος, ἀλγηδών, λύπη.

5. **ἱκανός·** ἅλις.

6. **συγγνώμην ἔχω·** συγγιγνώσκω· ὁ δὲ συγγνοὺς οὐκέτι δίκην λαμβάνειν βούλεται οὐδὲ τιμωρεῖσθαι.

7. **παρανομῶ·** παρὰ τοὺς νόμους ποιῶ. **διάδοχος·** ἐὰν ἕτερος ἀφ' ἑτέρου λάβῃ, διαδέχεταί τε καὶ διάδοχός ἐστιν.

9. **πυρώδης·** πυρφόρος, πῦρ ἔχων.

10. **Ἠριδανὸς** ποταμός ἐστι τῆς Ἰταλίας· ἀγγλιστὶ Po.

[122]

11. **ἤλεκτρον·** ἀγγλιστὶ amber.

12. **κατέᾱγε·** κατέρρηκται, κατατέθραυται.

13. **ῥῡμὸς** δίφρου τὸ ξύλον ἂν εἴη, τὸ ἐν μέσῳ τῶν ἵππων. **τροχός·** κύκλος.

13

24. **ἴχνος·** σημεῖον εἴτε ποδὸς εἴτ' ἄλλου τινός. οὐκ ἂν λάθοι τραύματα γενόμενα, τὰ γὰρ ἴχνη ἔστιν ἰδεῖν ἐν τῷ προσώπῳ.

25. **ἀνταγωνιστὴς** ὁ ἐναντίος ἐν ἀγῶνι ὤν. **πυκτεύομεν** παίοντες πὺξ ἀλλήλους· συνελίττομεν γὰρ τοὺς δακτύλους, τύπτομεν δὲ τοῖς κονδύλοις· κόνδυλος δ' ἂν εἴη τὸ ἔξω τῆς χειρός. ἀλλ' ἐὰν πλατείᾳ τῇ χειρὶ πατάξωμεν, τύπτομεν ἐπὶ κόρρης.

26. **Ἰᾱ́σων** ὑπὸ Πελίου ἐπέμπετο ὡς κομιούμενος τὸ χρυσόμαλλον δέρας· τοῦτο δ' ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρούρει δὲ δράκων ἄυπνος. ἔπλει οὖν ὁ Ἰάσων ἔχων ἑταίρους πολλοὺς τοὺς Ἀργοναύτας, καὶ ναῦν τὴν Ἀργώ. ἦλθον δ' ἄλλοσέ τε καὶ πρὸς τὴν Βεβρύκων γῆν, ἧς βασιλεὺς ὢν Ἄμυκος πάντας τοὺς ξένους τοὺς ἀεὶ ἀφικνουμένους ἠνάγκαζε πυκτεύειν καὶ οὕτως ἀπέκτεινεν. οὗτος δὴ ἐκαλεῖτο καὶ τούτων τὸν ἄριστον ἐπὶ πυγμήν· ὁ δὲ Πολυδεύκης πλήξας κατὰ τὸν αὐχένα ἀπέκτεινεν αὐτόν.

## Page 27.

3. **ὤνησας·** ὠφέλησας· εὖ ἐποίησας καὶ χάριν οἶδά σοι.

4. **ἡμίτομον·** τὸ ἥμισυ τοῦ ὀστράκου· ἑκάτερος γὰρ ἐφόρει τοῦτο καὶ τἄλλα σημεία ἅπερ λέγει, ὥστ' οὐκ ἂν ῥᾳδίως λάθοιεν ἐξ ᾠοῦ πεφυκότες.

7. **ἀτάρ·** ἀλλά, μέντοι.

13. **ἐνείμαντο** ὥστε ἕκαστον ἔχειν μέρος.

14. **νομή·** τὸ νέμεσθαι· δῆλοι δή εἰσιν οὐ σοφῶς νειμάμενοι· μωρίαν δ' ὀφλισκάνουσιν.

18. **παιδοτρίβης** διδάσκει τοὺς ἐφήβους γυμνάζεσθαι.

[123]

21. **ἀργός·** ἄνευ ἔργου· εἰ δὲ σὺ ἀργὸς ἦσθα νῦν, καὶ σὺ ἂν μωρίαν ὠφλίσκανες. **εὐωχοῦμαι·** ἑορτάζω, ἑστιῶμαι.

23. **καθιππάζεσθαι·** ἐφ' ἵππων ὀχεῖσθαι κατὰ θάλατταν.

24. **χειμάζεται** ναύτης ἐν θυέλλαις καὶ χειμῶσι καὶ κύμασιν ἄνω κάτω φερόμενος.

## ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ

### 1

Δωρίς τε καὶ Γαλατεία νύμφαι ἐνάλιοι.

**Page 28.**

2. **Σικελός·** ἡ Σικελία τοι τυγχάνει οὖσα νῆσος, ἐγγὺς Ἰταλίας κειμένη· ἐν αὐτῇ δ' ἡ Αἴτνη. **ἐραστὴς** ἐρᾷ κόρης, καὶ βούλεται γαμεῖν αὐτήν.

3. **ποιμὴν** ποιμαίνει ποίμνας, νέμων αἶγάς τε καὶ πρόβατα. εἴθ' ὤφελον ἐγὼ ποιμὴν εἶναι· τοῦτ' ἐστὶ γὰρ τὸ κατὰ φύσιν ζῆν.

7. **ἄγριος·** ὠμός, οὐχ ἥμερος. ἄγριος δ' ἂν ἦσθα, εἰ μὴ εὖ ἐπαιδεύθης. **λάσιος·** πολλὰς τρίχας ἔχων. **ἄμορφος·** αἰσχρός, οὐ καλός.

8. **μονόφθαλμος** ἂν ἦσθα σύ, εἰ εἶχες ἕνα ὀφθαλμὸν μόνον. **ὀνῆσαι·** ὠφελῆσαι· τὸ δὲ ῥῆμα, ὀνίνημι.

11. **ἐπιπρέπει·** εὖ ἔχει, καλός ἐστιν ὁρᾶν.

12. **μέτωπον·** τὸ μεταξὺ τῆς τε κόμης καὶ τῶν ὀφρύων. **ἐνδεής** τις ἐστιν, ἐὰν δέῃ τινός.

15. **ἐρώμενον** κτλ. ἔοικας καὶ σὺ ἐρᾶν αὐτοῦ μᾶλλον ἢ σοῦ ἐκεῖνος.

16. **ὀνειδιστικόν·** χαλεπῶς φέρω σοῦ οὕτως ὀνειδίζοντος.

18. **σκοπή·** ἐκ σκοπῆς περισκοποῦσιν οἱ σκοποί τε καὶ φύλακες, μή τι κακὸν ἐπέλθῃ ἀπροσδόκητον.

19. **ᾐών·** αἰγιαλός· οὗτος δὲ τυγχάνει ὢν τὸ παραθαλάττιον. **ῥίζα·** τὸ



κάτω μέρος τοῦ ὄρους, οὗπερ κλίνεται πρὸς τὸ πεδίον, αὕτη κινδυνεύει εἶναι ῥίζα.

21. **ἀπομηκῦνεται·** μακρός ἐστι· τὸ γὰρ μῆκος τυγχάνει ὂν μακρότης.

22. **ἐπέχω·** προσέχω· ταὐτὸ δ' ἂν ἦν, εἰ εἶπεν, ὅτι ἐμὲ μόνην προσέβλεπεν ὁ Πολύφημος.

23. **ἀνῑᾷ·** ἀεὶ τὸ λυπηρὸν κινδυνεύει ἀνιᾶν ἡμᾶς. **δεῖγμα·** δεικνύει· τεκμήριον γὰρ ὁμοῖον τῷ δείγματι τυγχάνει ὄν.

24. **παρορῶ** ὅταν ἄλλοσε ἀποβλέψω, ὥστε μὴ τοῦτό γ' ὁρᾶν· ἐν οὐδενὶ λόγῳ ποιοῦμαι, οὐδένα λόγον ποιοῦμαί τινος.

## Page 29.

2. **ἐπίφθονος** ὢν τυγχάνει ᾧ ἂν φθονῶσιν ἄλλοι· ζηλωτός.

4. **συνήθης** κυρεῖ ὢν ὁ εἰθισμένος· εἰ γάρ τι γένοιτο κατ' ἔθος, τούτου συνήθης ἂν εἴη τις. οὗτος οὖν φιλεῖ ἐσθίειν τύρου καὶ πίνειν γάλακτος.

6. **τυγχάνω ὤν·** κυρῶ ὤν, κινδυνεύω εἶναι· εἰμὶ κατὰ τύχην.

8. **χρόα·** χρώς· τὸ ἔξω τοῦ σώματος, δέρμα.

10. **ἐρύθημα·** ὅταν ἐρυθριῶμεν, ἐρυθραὶ γίγνονται αἱ παρειαί· τοῦτο δὴ ἐρύθημα τυγχάνει ὄν.

12. **οἱοσδήποτε·** οἷός ἐστι· καὶ ἐὰν ᾖ τοιοῦτος.

13. **πορθμεὺς** πορθμεύει τοὺς ἐπιβάτας διὰ τοῦ πορθμοῦ ἐν τῷ πορθμείῳ· τὸ δὲ πορθμεῖον τυγχάνει ὂν πλοῖον. νῦν μέντοι λέγει τὸν πορθμὸν τῆς τε Σικελίας καὶ τῆς Ἰταλίας· οὗτος δὲ ἐγγὺς ὢν τυγχάνει τῆς Αἴτνης· καὶ ἑτέρωθε μὲν ἡ Χάρυβδις, ἑτέρωθε δ' ἡ Σκύλλα. νῦν δ' οὐκέτι φαίνεται ἡ Σκύλλα· φεῦ τοῦ σεισμοῦ.

16. **κωμάζοιεν** ἂν οἱ κωμασταὶ κῶμον ποιούμενοι· καὶ γὰρ ἑορτὴν ἄγοντες, ἢ ἑστιώμενοι, ἐβάδιζον δᾷδας ἔχοντες καὶ ᾄδοντες παρὰ τοὺς φίλους. τοιοῦτος ἂν τύχοι ὢν ὁ κῶμος.

17. **ὀγκᾶται** ὁ ὄνος ὥσπερ καὶ μῡκᾶται ὁ ταῦρος, καὶ βαΰζει ὁ κύων αὖ αὖ, καὶ μηκᾶται τὸ πρόβατον βῆ βῆ,



καὶ κοΐζει ὁ χοῖρος γρῦ γρῦ, καὶ δὴ καὶ ἡ γλαῦξ βύζει κικκαβαῦ κικκαβαῦ. **πηκτὶς** τυγχάνει οὖσα λύρα.

20. **νεῦρα** ὥσπερ σχοινία τυγχάνει ὄντα ἐν τῷ σώματι τῶν ζῴων. **μελῳδῶ·** μέλος ᾄδω· τὸ δὲ μέλος ἂν τύχοι ὂν ᾠδή τις καὶ ᾆσμα.

21. **ἀπῳδός·** πλημμελής· ὅ τι ἂν μὴ ἡδὺ ᾖ μηδ' ἐμμελές.

22. **ὑπηχεῖ** ἡ λύρα τῇ φωνῇ· ὁ μὲν γὰρ ᾄδων κρέκει τὴν λύραν, ἡ δὲ ὑπηχεῖ κρέκοντος αὐτοῦ. **κατέχειν** κτλ. οὐκ ἀνεκτὸν ἦν μὴ οὐ γελᾶν· πῶς οὐκ ἠμέλλομεν γελᾶν;

23. **Ἠχὼ** νύμφη τυγχάνει οὖσα, ἥτις ταῖς φωναῖς ἀντιφωνεῖ τι ἀντίφωνον.

27. **ἀθυρμάτιον** κινδυνεύει εἶναι μικρὸν ἄθυρμα· τοῖς δ' ἀθύρμασι παίζειν φιλεῖ τὰ παιδία. **ἄρκτος** ζῷον τυγχάνει ὄν, λάσιον, ἄγριον, ὃ περιβάλλει τῷ κυνηγῷ τοὺς ἐμπροσθίους πόδας ὥστ' ἄγχειν αὐτόν.

2

## Page 30.

9. **κατάρᾱτος·** κάκιστ' ἀπολούμενος. καταρώμεθα γὰρ τοῖς ἐχθίστοις· αὕτη δὲ κατάρα τυγχάνει οὖσα.

10. **μεθύσας·** διδοὺς οἶνον ὥστε μεθυσθῆναι· μεθύσκεται γὰρ ὁ πιὼν οἴνου ὑπὲρ μέτρον. **ἐκτυφλῶ** ποιῶν τυφλόν, τοὺς ὀφθαλμοὺς ἐκκόψας. **κοιμᾶται** τις νυστάζων ἵνα καθεύδῃ, κλιθείς τ' ἐπὶ κλίνης καὶ κλῄσας τοὺς ὀφθαλμούς. **ἐπιχειροῦσιν** οἱ χεῖρα ἐπιφέροντες καὶ πειρώμενοι ποιεῖν τι, ἢ οἱ προσπίπτοντές τινι.

13. **ἀποκαλοίη** τις ἂν εἰ καλοίη μὴ ὀρθῷ ὀνόματι χρώμενος.

16. **Ἰθακήσιος·** ἐξ Ἰθάκης, νήσου οὔσης ἐγγὺς τῆς Κεφαλληνίας. **Ἴλιον·** Τροία.

17. **εὐθαρσὴς** ὢν τυγχάνει ὁ θαρρῶν εὖ καὶ μηδὲν δεδιώς.

19. **κατέλαβον·** εὗρον.

[126]

20. **δῆλον ὅτι·** δήπου.

21. **πῶμα·** ἔπεστι τοῖς ἄγγεσι τὸ τοιοῦτον, ὥσπερ στέγος τῇ οἰκίᾳ· ἐνταῦθα δὲ κλῄει τὸ τοῦ ἄντρου στόμα.

23. **ἐναύω·** ἀνακαίω. **ἐναυσάμενος·** πῦρ καύσας ἐμαυτῷ.

25. **εἰκός·** κατὰ λόγον. **λῃστής·** ὁ βίᾳ ἁρπάζων τὰ μὴ ἑαυτοῦ.

## Page 31.

2. **εὔοσμος·** ὄζων εὖ· ἡδεῖαν ὀσμὴν ἔχων. **ταραχώδης** ὁ ταράττων· οὗτος δ' ὁ οἶνος ἔτυχε ταράξας τὸν νοῦν τὸν τοῦ Πολυφήμου.

4. **σπήλαιον·** ἄντρον.

5. **ἐν ἐμαυτοῦ ἦν·** κυρίως μέν, ἐν τῇ ἐμαυτοῦ οἰκίᾳ· νῦν δ', ἔνδον ἐμαυτοῦ· ὁ μὲν γὰρ ἔνδον ἑαυτοῦ ἔννους τυγχάνει ὤν, ὁ δ' ἐκτὸς ἑαυτοῦ ἄνους.

6. **ἀποξῡ́νω·** ὀξὺν ποιῶ. **μοχλός·** ξύλον μέγα τε καὶ μακρόν. **πυρώσας·** τὸ πυροῦν, καίειν ἐν πυρί. οὕτω δὴ ποιήσας σκληρὸν ποιεῖ τὸν μοχλόν. **προσέτι·** πρὸς τούτοις.

10. **ἐξέθορες·** τὸ θρῴσκειν, πηδᾶν· (θοροῦμαι, ἔθορον).

13. **ῥᾷον·** ῥᾴδιον μᾶλλον.

22. **μελαγχολᾶν·** μαίνεσθαι. **ᾤχοντο·** οἴχομαι ἀπιὼν καὶ φροῦδός εἰμ' ἤδη· ἔφθασα ἀπιών, ἔφθην ἀποφυγών.

23. **ἐξαπατῶσιν** οἳ ἂν λάθωσι ποιοῦντές τι.

26. **ἀμυνοῦμαι·** ἀπώσω.

27. **πήρωσις** ὀφθαλμῶν καὶ ἄλλων μελῶν γένοιτ' ἂν εἴ τις βλάπτοι ἢ διαφθείροι.

Τὰ περὶ τοῦ τ' Ὀδυσσέως καὶ τοῦ Κύκλωπος ζητητέα ἐν τῷ ἐνάτῳ τῆς Ὀδυσσείας· οὐ γὰρ εὐμαθῆ ταῦτα, ἐάν γε μὴ πρότερον ἀναγνῷς τὰ Ὁμηρικά.

3

## Page 32.

3. **ἅλμη·** ἅλς, ἁλμυρὸν ὕδωρ, θάλαττα.

4. **ἀναπαύω ἐμαυτὸν** ὅταν τελευτήσω. εἰ σὺ ἐπαύσω ἀναγιγνώσκων, οὐκ ἂν νῦν ἀνεγίγνωσκες ταῦτα.

[127]

5. **συνεστώς·** οὐ διακεχυμένος.

6. **ῥεῖθρον·** ῥεῦμα· τὸ ῥέον. **ἀμιγής·** οὐ μιχθεῖς τῇ θαλάττῃ.

16. **νησιῶτις·** ἐν νήσῳ οὖσα. ὁ δ' ἄρρην νησιώτης.

19. **διαυγής·** καὶ γὰρ διαλάμπει τὸ φῶς· καθαρὸν λέγει τὸ ὕδωρ τῆς πηγῆς. **ἀναβλύζει** πηγῆς ὕδωρ· πρὸς δὲ τούτοις καὶ τὸ ὕδωρ τὸ ζέον ἐπὶ πυρός, καὶ τοῦτο βλύζει.

20. **ἐπιπρέπει·** ὅρα σελίδα εἰκοστὴν τρίτην. **ψηφῖς·** ψῆφος μικρά.

21. **ἀργυροειδής·** ὥσπερ ἄργυρος· ἀργυραῖ δὲ τυγχάνουσιν οὖσαι αἱ δραχμαί.

26. **Ἀρκάς·** ἐξ Ἀρκαδίας.

## Page 33.

1. **ἐπείγομαι·** σπεύδω, κατὰ σπουδὴν διώκω. **περίεργος·** πολυπράγμων· μάταιος, ἄκαιρος.

4. **συναυλία** γίγνεται, ὅταν μίαν αὐλὴν καὶ οἰκίαν κοινῇ ἔχωσιν ἀνήρ τε καὶ γυνή.

4

Ὅμηρος ἐν τετάρτῳ τῆς Ὀδυσσείας διηγεῖται τὰ περὶ τοῦ Πρωτέως, τοῦ ἁλίου γέροντος. Μενέλεως γάρ, ἀπὸ Τροίας πλέων ἐφ' Ἑλλάδος, κατείχετο ἐν Αἰγύπτῳ, οὐκ ὄντος οὐρίου ἀνέμου. ἐπεὶ δ' οὐκ ᾔδειν ὅ τι ποιοίη, ἐκέλευσεν αὐτὸν θυγάτηρ Πρωτέως αἱρεῖν τὸν πατέρα· ἐκεῖνον γὰρ ἐρεῖν τὰ πάντα. φιλεῖν δε κοιμᾶσθαι τῆς μεσημβρίας, περὶ δ' αὐτὸν καὶ τὰς φώκας. τότε δεῖν αἱρεῖν αὐτόν, φθάσαντα πρὶν ἐγερθῆναι· τὸν δὲ γενήσεσθαι πάντα, ὅσα τε γίγνοιτο ἑρπετὰ ἐπὶ γῆς καὶ ὕδωρ καὶ πῦρ· εἰ δὲ κατέχοι βεβαίως πιέζων, τέλος γενήσεσθαι πάλιν οἷος καὶ ἦν τὸ πρίν, καὶ εἰ λύσαι, ἐρεῖν ὅ τι ἐρωτῴη. τοῦτ' οὖν ἐποίησεν ὁ Μενέλεως· καὶ δὴ διαλέγονται, ὁ μὲν λύσας, ὁ δὲ λυθείς.

8. **ἀπίθανον·** οὐχ οἷον πιστεύεσθαι. **φορητός·** φορητὰ ταῦτα, ἃ κἂν φέροι τις ἀκούων.

[128]

9. **ἀλλάττω·** μεταβάλλω, ἄλλον ποιῶ· ἐὰν δ' ἀλλαγῇ τις, ἀλλοῖος γίγνεται ἤδη.

12. **ἀπιστῶ·** οὐ πιστεύω.

15. **γοητεία** κινδυνεύει εἶναι τέχνη τις τῶν γοήτων καὶ ἀγυρτῶν.—ἀλλ' ἐστί τοι καὶ νῦν, ὦ μαθητά, τοιαύτη τις τέχνη, οἵα ποιεῖ τοὺς ἀνθρώπους πρῶτον μὲν ὑπνώττειν, εἶτα πιστεύειν γενέσθαι ὅ τι ἂν λέγῃ ὁ γόης.

18. **καὶ τίς·** σημαίνει αἰεὶ τοῦτο, ὅτι ὁ εἰπὼν οὐ πιστεύει οὕτως ἔχειν τὸ πρᾶγμα. **ἐναργής·** δῆλος καὶ φανερός.

20. **μεταποιῶ·** μεταλλάττω.

21. **φαντασία·** ἃ ἂν φαντάζηται, αὕτη φαντασία, λόγῳ ἀλλ' οὐκ ἔργῳ γενόμενα, δοκοῦντα μέν, ὄντα δ' οὔ.

25. **πεῖρα** γίγνεται, ὅταν πειρώμεθα.

26. **πολύπους** ἰχθύς τίς ἐστι, ὃς κἂν καλοῖτο ὀκτάπους, πολλοὺς ἔχων πόδας ἢ χεῖρας ἢ πλεκτάνας· ἐν ἄκρῳ δὲ ποδὶ ἑκάστῳ κοτύλαι εἰσίν, αἷς ἀνθάπτεται τῆς πέτρας ὥστε μὴ ἀπολισθάνειν.

## Page 34.

6. **προσφύς·** ἐχόμενος, ἀνθαπτόμενος, ἀντιλαμβανόμενος.

9. **ἐοικώς·** ὅμοιος τυγχάνει ὢν ὁ ἐοικώς· ἔοικε γάρ.

5

16. **Τρῖτων** μὲν υἱὸς ἦν Ποσειδῶνός τε καὶ Ἀμφιτρῖτης· Ἀμῡμώνη δὲ Δαναοῦ θυγάτηρ. καὶ ταύτην ὑπὸ πατρὸς ἐκπεμφθεῖσαν ὡς ὕδωρ κομιοῦσαν, ἥρπαζε σάτυρος· ἔσωσε δ' ὁ Ποσειδῶν, σώσας δ' ἔγημε καὶ αὐτήν. ἀλλ' ἐνταῦθά γε οὐδὲν λέγει ὁ Λουκιανὸς περὶ σατύρων.

18. **Λέρνα** καὶ ποταμὸς καὶ ἕλος ἐν τῇ Ἀργολίδι· ὁ γὰρ Δαναὸς πρὸς Ἄργος ἦλθε μετὰ τῶν πεντήκοντα θυγατέρων.

19. **ὑδρεύομαι·** ὕδωρ κομίζω· ὑδροφόρος εἰμὶ φέρων ὕδωρ.

22. **θεράπαινα·** οἰκέτις· θεραπεύει γάρ·

[129]

ὁ δ' ἄρρην θεράπων.

26. **πυνθάνομαι·** ἐρωτῶ ἢ καὶ μανθάνω.

## Page 35.

1. **σκληραγωγῶ·** οὕτως τρέφω ὥστε μαλακὸν μὴ εἶναι. **αὐτουργῶ·** αὐτὸς ἐργάζομαι.

2. **ἀρύω** μὲν ἄλλοις ὕδωρ, ἀρύομαι δ' ἐμαυτῷ.

3. **ἄοκνος·** ἕτοιμος, ἄσχολος.

6. **πολυδίψιος·** πολὺ διψῶν. οὕτως καλεῖται τὸ Ἄργος ὑπὸ τῶν ποιητῶν, διότι κόνις ἔνεστι πολλὴ καὶ ὕδωρ σπάνιον.

7. **ὑδροφορῶ·** ὕδωρ ἀρύομαι.

14. **διατριβὴ** γίγνεται ὅταν χρόνον διατρίβωμεν. **ζεύγλη** βρόχος τίς ἐστιν ἐπὶ τοῦ ζυγοῦ, καὶ διὰ τῆς ζεύγλης διέρχεται ἡ τοῦ ἵππου κεφαλή.

15. **σὺ δ' ἀλλά·** σὺ δ', ἱκετεύω. **δελφὶς** ἰχθύς ἐστί τις· εἶδες γάρ που τοὺς δελφῖνας, χορεύοντας ἐν θαλάττῃ περὶ νεὼς πρῴρας. τὸν δ' Ἀρίονα τίς ἀγνοεῖ, ὅπως ὑπὸ δελφῖνος ἐσώθη;

16. **ἱππεύει** ὁ ἱππεὺς ἐφ' ἵππου· τί μήν;

19. **παρανήχομαι·** νέω ἐν τῷ ὕδατι ἐγγύς τινος. νέομεν δ' οὕτω· τὰς μὲν χεῖρας κατὰ ῥυθμὸν προβάλλομεν, τοῖς δὲ ποσὶν ὥσπερ βάτραχοι λακτίζομεν.

21. **λοχῶ·** λοχᾷ τις κρύψας ἑαυτόν, ἵνα πολέμιον φθάσῃ ἐπιπεσών.

24. **ὡραῖος·** ἐν ὥρᾳ· ἐν ἀκμῇ τῆς ἡλικίας.

25. **συλληπτέα·** δεῖ συλλαμβάνειν.

28. **βιάζομαι·** μετὰ βίας ἄγω.

## Page 36.

2. **καθέλκω·** κατάγω μετὰ βίας. **ἀποπνιγήσομαι·** καὶ γὰρ ἀποπνίγονται ἐν μὲν ὕδατι ἄνθρωποι, ἰχθύες δὲ ἐν ἀέρι.

4. **οὐδέν** κτλ. οὐ μὴ πάθῃς οὐδὲν δεινόν· οὐκ ἔστιν ὅπως πείσῃ οὐδὲν δεινόν.

5. **ἐπώνυμος·** ἔχων ταὐτὸν ὄνομα σοί.

8. **ἀποθανοῦσα·** μετὰ γὰρ τὸν θάνατον αἱ ἄλλαι τῶν Δαναίδων ὑδροφόρουν ἐν Ἅιδου· ἀποκτείνασαι γὰρ τοὺς ἄνδρας, δίκην ἐδίδοσαν χέουσαι ἀεὶ ὕδωρ εἰς ὑδρίαν τετρημένην.

[130]

6

11. **Ἰνοῦς παιδίον·** Μελικέρτης. ἔρριψε γὰρ ἑαυτὴν ἡ Ἰνὼ εἰς τὴν θάλατταν μετὰ τοῦ παιδίου· ὀνομάζουσι δ' οἱ ναῦται τὴν μὲν Λευκοθέαν, τὸν δὲ Παλαίμονα, θεοὺς νομίφοντες.

12. **Σκιρωνίδες·** πέτραι, ἐγγὺς τῶν Μεγάρων.

13. **κιθαρῳδός·** Ἀρίων.

14. **Μήθυμνα** πόλις Λέσβου. **ἐξενήξω·** ἐξένευσας.

15. **Ταίναρον** ἀκρωτήριον τῆς Λακωνικῆς. **αὐτῇ σκευῇ·** καὶ μετὰ τῆς σκευῆς. **περιεῖδες·** τὸ οὐ περιορῶ ἄλλο ἐστὶ τοῦ ἐῶ· τὸ γὰρ οὐκ ἐῶ ταὐτόν ἐστι τῷ κωλύω.

18. **ἰχθύες·** οἱ λῃσταὶ οἵτινες ἤθελον ἀνδραποδίζειν τὸν Διόνυσον, κελεύοντος τοῦ θεοῦ δελφῖνες ἐγένοντο.

21. **χειροῦμαι·** κρατῶ, νικῶ· ποιῶ ὑποχείριον. ταὐτὸ δὲ τὸ ὑπάγεσθαι.

24. **Περίανδρος** Κορίνθου τύραννος.

## Page 37.

1. **κακοῦργος** κακουργεῖ κακουργίᾳ χρώμενος, καὶ κακὰ ἔργα ποιῶν.

4. **ἀκροῶμαι·** ἀκούω. τὸ δ' ἀκροᾶσθαι, ἀκρόασις.

6. **θρῆνος·** τοῦτον θρηνοῦσιν ἐπὶ τοῖς νεκροῖς· ὕμνος δ' ἐστὶν ἢ ᾠδή.

Τὸ δὲ τέλος τοῦ μύθου, ὅπως ἥλωσαν οἱ λῃσταὶ καὶ ἔδοσαν δίκην, τίς ἀγνοεί ὑπὸ τοῦ Ἡροδότου εἰρημένον;

### 7

Ἀθάμας, βασιλεὺς Βοιωτίας, δύο εἶχε τέκνα, υἱὸν μὲν Φρίξον θυγατέρα δὲ Ἕλλην. ἀποθανούσης δὲ Νεφέλης, ἥτις μήτηρ ἦν αὐτῶν, γαμεῖ δευτέραν τὴν Ἰνώ· ἡ δὲ μητρυιὰ οὖσα ἐπεβούλευσε τῷ παιδί· ἔπεισε γὰρ τὰς γυναῖκας φρύγειν τοὺς πυροὺς πρὶν σπείρειν, ὥστ' οὐκ ἀνέδωκεν ἡ γῆ τοὺς ἐτησίους καρπούς· οὐκοῦν ἔπεμψεν ὁ Ἀθάμας εἰς Δελφοὺς ἄνδρας χρησομένους τῷ θεῷ. τοὺς δ' ἔπεισεν ἡ Ἰνὼ ἀγγέλλειν, ὡς εἴη κεχρησμένον, παύσεσθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ

[131]

ὁ Φρίξος. ἀλλ' ἡ Νεφέλη ἀνήρπασε τόν τε Φρίξον καὶ τὴν Ἕλλην· ἔφερε δ' αὐτὼ κριὸς χρυσόμαλλος δι' οὐρανοῦ. ὡς δ' ἐγένοντο μεταξὺ Σιγείου τε καὶ Χερρονήσου, κατώλισθεν ἡ Ἕλλη εἰς τὴν θάλατταν, ὥστε μετὰ τοῦτο ἐκαλεῖτο Ἑλλήσποντος ἡ θάλαττα. Φρίξος δ' αὖ ἀφίκετο εἰς Κόλχους, ὧν βασιλεὺς ἦν Αἰήτης· ὁ δὲ Φρίξος ἔθυσε τὸν κριὸν Διῒ Φυξίῳ, καὶ τὸ χρυσόμαλλον δέρας ἔδωκε τῷ βασιλεῖ. τοῦτο τὸ δέρας κάτιστέ που τὸν Ἰάσονα μετελθόντα ὕστερον.

15. **στενός·** οὐκ εὐρύς· λέγει δὲ τὸν πορθμόν.

18. **ταφῇ·** θάπτομεν νεκρὸν τιθέντες ἐν τάφῳ. **ἐπιχώριοι·** οἱ ἐν τῇ χώρᾳ.

20. **ἐλεῶ·** οἰκτῖ́ρω, δι' οἴκτου εἰμί.

21. **μητρυιά·** δευτέρα γυνὴ μητρυιά ἐστι τοῖς τῆς προτέρας τέκνοις.

23. **ψάμμος** ἀεὶ κεῖται ἐπὶ τῷ αἰγιαλῷ· τὰ γὰρ τῆς θαλάττης κύματα, κατατρίβοντα τὰς ψήφους, ποιεῖ ψάμμον οὕτως.

25. **τεθάψεται·** τεθαμμένον ἔσται. **παραμῦθιον·** τοῦτο παραμυθεῖται καὶ θέλγει τοὺς λυπουμένους, καὶ κωλύει μὴ λυπεῖσθαι τοσοῦτον.

## Page 38.

2. **Κιθαιρὼν** ὄρος ἐστὶ μεταξὺ τῆς τ' Ἀττικῆς καὶ τῆς Βοιωτίας.

3. **ἀγκάλη·** ὠλένη· γωνία καὶ ἄρθρον τῆς χειρός.

5. **τροφὸς** τρέφει τὰ παιδία· τίτθη δὲ γάλα δίδωσιν.

7. **ἀχαριστῶ** χάριν μὴ εἰδὼς τῶν πεπραγμένων.

10. **ὀχεῖται·** φέρεται ἐπί τινος εἴτε ζῴου εἴθ' ἁμάξης.

12. **φορά·** τὸ φέρειν. **ἀήθεια** τοὐναντίον τῆς συνηθείας· ταύτην δ' οἶσθα δήπου, ὅ τί ποτ' ἐστίν. **ὄχημα** ὀχεῖ καὶ φέρει· τούτοις δὲ ὁ κριὸς ὄχημα, ἅτε φέρων αὐτούς.

14. **θάλπος·** θερμότης. **ἰλιγγιᾷ** τις ὅταν ὥσπερ περιφέρηται ἡ κεφαλή· τοῦτο δὲ πάσχουσιν οἱ ἐν ὑψηλῷ τόπῳ στάντες, καὶ κάτω βλέποντες.

[132]

**ἀκρατὴς** κτλ. οὐκέτι ἀντείχετο τῶν κεράτων, ἀφιεῖσα δὲ κατέπεσεν.

15. **τέως·** τοσοῦτον χρόνον, εἰς τοῦτο.

8

Περὶ τῶνδε ὅρα τὰ πρότερον εἰρημένα ἐν σελίδι.

22. **Ἶρις·** ἄγγελος τοῦ Διός. **πλανᾶται** πλανήτης φερόμενος ἔνθα καὶ ἔνθα.

23. **ὕφαλος·** ὑπὸ τῆς ἁλός· ὑπὸ τῆς θαλάττης δῆλον ὅτι.

24. **συμβέβηκε·** γέγονεν.

26. **στηρίζω·** πήγνυμι ὥστε βεβαίως στῆναι. **ἀσφαλής·** σῶς· ἄνευ κινδύνου.

## Page 39.

2. **χρείᾱ·** χρῆμα, ὠφέλημα.

5. **ἐντεκεῖν·** ὥστε τεκεῖν ἐν αὐτῷ.

7. **γονή·** τὸ τίκτειν.

9. **ὠδῖς·** ἄλγος.

10. **ὑποδοχή·** τόπος τοῦ ὑποδέχεσθαι. **ἀφανής·** οὐ φανερός.

12. **συνΐημι·** ἐπίσταμαι, μανθάνω.

13. **βυθός·** ὅ τε βυθὸς καὶ τὸ βάθος ταὐτόν πως.

17. **γαληνός·** ἄνευ κυμάτων καὶ θυελλῶν. αὕτη δ' ἡ γαλήνη. **ἐξοιστρῶ·** ὁ μὲν οἶστρος μυῖά τις τυγχάνει ὤν, ἥτις κέντρον ἔχουσα κεντεῖ καὶ λυπεῖ τὰ ζῷα· ὥστε πᾶν τὸ οὕτως κεντοῦν κατὰ μεταφορὰν οἰστρεῖν λέγεται. οὗτος δ' ὁ δράκων ἐδίωκε τὴν Λητὼ ὑφ' Ἥρας πεμφθείς.

18. **νεογνά** κτλ. ὅταν τάχιστα γένηται τὰ τέκνα.

19. **τῑμωρῶ·** ἀμύνω.

20. **εὐτρεπῆ·** εὖ κεκοσμημένα.

9

Ὁ μὲν Ξάνθος ποταμὸς τῆς Τρωιάδος· τὰ δὲ νῦν λεγόμενα ζήτει ἐν Ἰλιάδος εἰκοστῷ πρώτῳ.

24. **κατάσβεσον.** σβέννυμεν πῦρ καὶ φῶς· καὶ ἐπειδὰν τάχιστα σβέσωμεν, οὐκέτι καίεται.

[133]

26. **ἀπηνθράκωμαι·** οἱ ἀνθρακῆς τὰ ξύλα πρῶτον μὲν ὀλίγον ἔκαιον, εἶτ' ἐσβέννυσαν· οὗτοι δ' ἄνθρακες, οὓς καὶ αὖθις ἔκαιον ἐφ' ἑστιᾶς· ὁ δὲ Ξανθός φησιν ὥσπερ ἄνθρακες γεγενῆσθαι.

27. **ζεῖ** ὕδωρ ἐπὶ πυρὸς ἐν λέβητι ὄν.

## Page 40.

4. **ἐμφράττω·** συγκλῄω. τοὺς νεκροὺς λέγει κωλύειν τὸν ποταμὸν μὴ καταρρεῖν.

5. **ἐπικλύζω·** πολὺς ῥέω ὥστε καταχεῖν πανταχοῦ τὸ ὕδωρ.

9. **πτελέα** elm, **μυρῑκη** tamarisk.

10. **ἔγχελυς** ἰχθὺς ἐστίν, ὅμοιος μὲν ἐχίδνῃ, ἐδώδιμος δέ.

11. **ὑπερκαχλάζω·** ῥέω ὑπέρ τινος μετὰ ψόφου καὶ πομφολύγων· ὑπερπομφολύζω. ἡ δὲ πομφόλυξ ἔξω μὲν ὕδωρ, ἐντὸς δ' ἀήρ.

12. **ξηρός·** τοὐναντίον τοῦ ὑγροῦ. ἐὰν δή τι κέηται ἐν ἡλίῳ, ξηραίνεταί τε καὶ ξηρὸν γίγνεται. **ὅπως διάκειμαι·** ὡς ἔχω.

14. **θολερὸν** ὕδωρ οὐ καθαρόν· ταραττόμενον.

15. **θέρμη·** θερμότης.

16. **υἱωνός·** υἱὸς υἱοῦ ἢ θυγατέρος. ἡ μὲν γὰρ Θέτις θυγάτηρ θαλάττης, ὁ δ' Ἀχιλλεὺς υἱὸς τῆς Θέτιδος.

17. **ὥρμησας·** τὸ ὁρμᾶν ταὐτὸ τῷ ἐπελθεῖν καὶ ἐπιπεσεῖν. **αἰδεσθείς·** αἰσχυνθείς.

10

24. **κῖβωτός·** λάρναξ. οὐ πολὺ διαφέρει τῆς λάρνακος ἡ κιβωτός· ἐν δὲ ταῖς λάρναξι νεκροὶ φιλοῦσι κεῖσθαι. ξυλίνη μὲν ἡ κιβωτός, ἡ δὲ λάρναξ εἴτε ξυλίνη εἴτε πηλίνη εἴτε καὶ ἄλλως πως πεποιημένη.

25. **βρέφος·** νεογνὸν παιδίον τυγχάνει ὂν βρέφος· ἀρτιγέννητον παιδίον, νεωστὶ τεχθέν.

**Page 41.**

3. **ἄθλιος·** ὁ κακοδαίμων καὶ κάκιστα πάσχων ἄθλιος ἂν εἴη.

7. **θάλαμος·** δωμάτιον, οἰκίσκος.

[134]

8. **οὖν·** τῷ ὄντι.

9. **ὄροφος·** τὸ στέγος, τὸ ἄνω τῆς οἰκίας.

10. **κόλπος** μεταξύ ἐστι τῶν βραχιόνων· ἀσπαζόμενοι δὲ παιδία λαμβάνομεν εἰς τὸν κόλπον. τῆς δ' ἐσθῆτος ὁ κόλπος ἐκεῖ ἐστιν, οὗπερ κατατίθεμεν τὸ ἀργύριον.

12. **ζηλότυπος** οὗτος τυγχάνει ὤν, ὃς ἂν μὴ ἐθέλῃ τὸν φίλον φιλεῖν ἄλλον μηδένα.

15. **σῖγῶ·** σιωπῶ, οὐδὲν λέγω.

16. **καταδίκη·** ὁ φεύγων δίκην, ἐὰν ἁλῷ, δίκην δίδωσι τῷ διώκοντι· ἡ δὲ ποίνη καλεῖται καταδίκη. **παραιτοῦμαι·** αἰτῶ συγγνώμην.

17. **πάππος·** πατὴρ πατρὸς ἢ μητρός· μητροπάτωρ· τούτου δὲ πατήρ, πρόπαππος.

18. **ἄγνοια** ἂν εἴη, εἴ τις μὴ γνοίη.

19. **ὑποπίμπλαμαι·** κατὰ μικρὸν πλήρεις γίγνονται οἱ ὀφθαλμοί.

20. **μνημονεύω·** μιμνῄσκομαι, μνήμην ἔχω· οὐ λανθάνομαι.

24. **Σέρῖφος** νῆσος οὖσα τυγχάνει τῶν Κυκλάδων, οὐ πολὺ ἀπέχουσα τῆς Ἀττικῆς.

25. **ἁλιεὺς** ἁλιεύει αἱρῶν ἰχθῦς.

27. **ἀνασπῶ·** ἀνέλκω.

11

Page 42.

2. **κῆτος·** μέγιστον θηρίον θαλάττιον.

6. **δέλεαρ** τοῦτο τυγχάνει ὄν, ὅπερ περιτίθεμεν τοῖς ἀγκίστροις ἁλιεύοντες· οἱ δ' ἰχθύες καταπίνουσι τά τε δελέατα καὶ τὰ ἄγκιστρα, καὶ ἡμεῖς ἀνέλκοντες τὰ λίνα, ἔχομεν ἤδη τὴν ἄγραν. **λοχῶ·** λόχον ποιῶ κρύψας ἐμαυτόν, ἵνα φθάνω ἐπιπεσὼν τοῖς πολεμίοις.

15. **σῶστρα·** μισθὸς τῆς σωτηρίας ὠνομάσθη σῶστρα, ὥσπερ καὶ τὰ ἴατρα ἢ ἰατρεῖα μισθὸς τοῦ ἰᾶσθαι.

16. **ἐκτίνω·** ἀποδίδωμι ὡς ὀφειλόμενον.

18. **ἐστάλη·** ἐπέμφθη. **Γοργόνας·** ὅρα σελίδα τεσσαρακαιδεκάτην. **ἆθλος·** ἀγών· τὸ δὲ ἆθλον ἐστὶ μισθὸς ἀγῶνος.

19. **ἐπιτελῶ·** ποιῶ τὸ πᾶν.

21. **δύσπορος·** χαλεπὸς πορεύεσθαι καὶ οὐ ῥᾴδιος.

23. **διαιτῶμαι·**

[135]

οἰκῶ.

26. **ἀθεᾶτος·** ὃν μὴ ἔξεστιν ὁρᾶν. ἆρ' ἐμνήσθης ὅ τι ἔπασχεν ὁ ἰδών;

Page 43.

2. **διηγεῖσθαι·** λέγειν.

4. **κάτοπτρον** τοιοῦτό τι χρῆμ' ἐστίν, ἐν ᾧ βλέπων αἰσθήσῃ εἰκόνα σεαυτοῦ ἐνοῦσαν. ἡμεῖς δ' ὅταν κοσμῶμεν τὴν κόμην, εἰσβλέπομεν εἰς κάτοπτρον, ἵνα μὴ κακῶς κοσμῶμεν.

5. **εἰκών·** μορφὴ ὁμοία.

7. **ἅρπη·** μάχαιρα καμπύλη· τῇ γὰρ τοιαύτῃ δρέπουσι τὸν σῖτον οἱ θερισταί.

8. **ἀνεγρέσθαι·** ἀνεγερθῆναι· καὶ γὰρ ἀνήγροντο ἂν τῷ ψόφῳ.

9. **παράλιος·** παραθαλάττιος.

11. **προβλής·** ὁ προβαλλόμενος· τοῦτο δ' ἂν εἴη ἀκρωτήριον.

12. **προσπατταλεύω·** προσηλῶ· πήγνυμι παττάλοις. τοῖς δὲ παττάλοις συμπηγνύασι τέκτονες καὶ τἄλλα καὶ τὰς κιβωτούς. **καθειμένην** κτλ. αἱ κόμαι καθειμέναι ἦσαν, οὐδὲ συνδεθεῖσαι κατὰ κόσμον.

16. **διαγιγνώσκω·** διανοοῦμαι· ἐν νῷ ἔχω.

17. **ὑπεραιωρηθείς·** ἄνω ἀρθεὶς ἐν τῷ ἀέρι ὥσπερ τις ὄρνις· τοῦτο γάρ τοι τὸ αἰωρεῖσθαι.

18. **πρόκωπος·** ἐὰν ἀντιλαβώμεθα τῆς κώπης τῆς ἅρπης, πρόκωπός ἐστιν ἡ ἅρπη. ὁ μέντοι Περσεὺς τῇ μὲν χειρὶ τύπτει, τῇ δ' ἔχει τὴν τῆς Γοργοῦς κεφαλήν.

20. **πέπηγε·** λίθος γέγονε, ὥσπερ καὶ πήγνυται τὸ ὕδωρ τοῦ χειμῶνος καὶ κρύσταλλός ἐστιν ἤδη.

22. **ἀκροποδητί·** ἄκροις τοῖς ποσὶ προβαίνων.

23. **ὀλισθηρός·** ὅπου ἄν τις ὀλίσθῃ ῥᾳδίως, ὀλισθηρὰ ἡ γῆ.

24. **ἐν τοῦ Κηφέως** οἰκίᾳ.

25. **οὐ τὸν τυχόντα·** φαῦλός τοι ὁ τυχών.

26. **ἄχθομαι·** λυποῦμαι, ἀλγῶ.

27. **μεγαλαυχεῖσθαι·** μέγα λέγειν καὶ κομπάζειν κόμπον.

## Page 44.

4. **ὑπὲρ τὴν ἀξίαν·** μείζω τῆς ἀξίας· πλέον τούτων, ὧν ἄξιός τις ἐστιν.

[136]

12

8. **πομπή·** θέαμα φαιδρὸν οἷον ἀνδρῶν τε καὶ ἵππων καὶ ἁρμάτων, οἷα γίγνεται οὔσης ἑορτῆς. **μεγαλοπρετής·** λαμπρότατος ὁρᾶν.

12. **οἱ πέμποντες·** οἱ μετέχοντες τῆς πομπῆς.

13. **ἀπολείπομαί τινος** ὅταν μὴ παρῶ ἀλλ' ὕστερον ἔλθω.

25. **ἡλικιῶτις·** ἡ τῆς αὐτῆς ἡλικίας· ὁ δ' ἄρρην ἡλικιώτης.

## Page 45.

2. **εὐκαμπής·** καμπύλος, οὐκ ὀρθός. **ἥμερος·** οὐκ ἄγριος. **σκιρτῶ·** τὰ ζῷα σκιρτᾷ, ὥσπερ καὶ ἡμεῖς χορεύομεν. πηδῶ ἄνω κάτω.

3. **μῡκᾶται** μὲν ταῦρος, μηκᾶται δὲ οἶς· ὅρα καὶ σελίδα εἰκοστὴν τετάρτην.

5. **δρομαῖος·** δρόμῳ, τρέχων.

8. **ἠνεμωμένος·** πνέοντος ἀνέμου ἀνεμοῦταί τι.

13. **ἀκῦμων·** γαληνὸς καὶ ἄνευ κυμάτων.

14. **ἡσυχίᾱν ἄγω·** ἡσυχάζω. **θεᾱτῆς·** ὁ θεώμενος, ὁ βλέπων.

15. **παρακολουθῶ·** ἕπομαι.

17. **ἐπιψαύω·** θιγγάνω ἄκρου. **ἡμμένας·** ἐὰν ἅψωμεν δᾷδα, ἡμμένη ἐστίν, τὸ γὰρ ἅπτειν πυρί, καίειν ἐστίν.

18. **ὑμέναιος·** ὕμνος γάμων· ἆρα μέμνησαι ὅπως διαφέρει οὗτος τοῦ θρήνου;

19. **ἐπικροτῶ·** χεῖρας συμβάλλω ἐπὶ τούτοις.

23. **παροχοῦμαι·** παρά τινι ὀχοῦμαι· ἥ τε γὰρ Ἀμφιτρίτη καὶ ὁ Ποσειδῶν ἐν τῷ αὐτῷ ἅρματι ᾠχοῦντο.

24. **ὁδοποιῶν·** ὁδοιπορῶν, ἡγούμενος, ἡγεμὼν ὤν.

25. **κόγχη·** κόγχος· ὄστρακον ἰχθύος τινός.

26. **ἐπιπάττω·** σπείρω, σκεδάννυμι.

29. **Δικταῖον ἄντρον** ἐν Δίκτῃ, ὄρει Κρήτης· ἐκεῖ ὁ Ζεὺς νεογνὸς ὢν ἐσώθη, τοῦ Κρόνου καταπιεῖν αὐτὸν βουλομένου.

## Page 46.

2. **διακῡμαίνω·** κύματα ποιῶ ἐν θαλάττῃ.

3. **γρύψ·** τέρας ζῴου, πτερωτόν, ἔχον κεφαλὴν καὶ ῥυγχίον αἰετοῦ, τἄλλα δὲ λέοντος.

[137]

# ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ

6. **ἐντέλλομαι·** κελεύω. ἡ δὲ κέλευσις, ἐντολή.

7. **ἀναβιῶναι·** καὶ γὰρ ὅ τε Κάστωρ καὶ ὁ Πολυδεύκης οὕτω διένεμον τὴν ζωήν, ὥστε διῃτῶντο ἐναλλὰξ ἔν θ' Ἅιδου καὶ ἐπὶ γῆς· ὁ μὲν γὰρ ἄνω ἦν, ὁ δὲ κάτω· τῇ δ' ὑστεραίᾳ μετηλλάττοντο.

8. **αὔριον·** ἡ μετὰ ταύτην ἡμέρα· ἡ ὑστεραία· ἡ δὲ προτεραία, χθές· πρότερον δὲ τῆς χθεσινῆς, πρῴην. καὶ λέγομεν χθές τε καὶ πρῴην ἀντὶ τοῦ νεωστί.

**Μένιππος** φιλόσοφος ἦν, μιμητὴς Διογένους· οἱ τοιοῦτοι δὲ ὠνομάζοντο κυνικοὶ ἢ κύνες, ἐπεὶ διῃτῶντο ὥσπερ κύνες, φορτικῶς, καὶ ἔλεγον μετὰ παρρησίας ὥσπερ κύνες βαΰζοντες.

12. **καταγεγέλασται·** εἰ ἅλις ἐστί σοι γέλωτος· εἰ τετελεύτηκας γελῶν.

14. **ἀμφίβολόν** ἐστι ὃ ἂν μὴ φανερὸν ᾖ.

17. **σατράπης·** μέγας τις ἄρχων Περσικός.

18. **ταπεινός·** οὐχ ὑψηλός· ἥμερος καὶ χαμαὶ κείμενος. **ἄσημος·** ἄδοξος, ἀτίμητος. **οἰμωγῆς** κτλ. οὐκ ἂν ἄλλως διακρίνοις, οἵτινές εἰσιν, εἰ μὴ διὰ τὴν οἰμωγήν, οἷα λέγουσιν ὀλοφυρόμενοι.

19. **μαλθακός·** μαλακός· τοὐναντίον τοῦ τ' ἀνδρείου καὶ σκληροῦ. **ἀγεννής·** οὐ γενναῖος· ἀνελεύθερος, δούλειος, φαῦλος.

21. **πήρᾱ·** σάκκος ὃν ἐφόρουν ὁδοιποροῦντες. **θέρμοι·** εἶδος κυάμων.

22. **τρίοδος·** ὅπου τρεῖς ὁδοὶ συνέρχονται. ἐν δὲ ταῖς τριόδοις ἐφίλει εἶναι ἄγαλμα Ἑκάτης· καὶ κατὰ τὴν νουμηνίαν κατετίθεσαν οἱ πλούσιοι παρὰ τούτοις τοῖς ἀγάλμασι· τὸ δεῖπνον Ἑκάτης καλούμενον, ὥσπερ

[138]

θυσίαν τῆς Ἑκάτης· οἱ δὲ πένητες παρελθόντες ἤσθιον, καὶ ἔλεγον ὡς ἡ Ἑκάτη ἔφαγεν.

23. **καθαρσίου·** ἐκ θυσίας καθαρσίου, λέγω δὲ τὴν πρὸς τὸ καθαίρειν θυσίαν.

## Page 47.

3. **φαλακρός·** οὐκ ἔχων κόμας ἐπὶ τῆς κεφαλῆς. **τριβώνιον·** ὁ μὲν τρίβων χλαῖνά τίς ἐστι· λέγει δὲ τριβώνιον ὡς καταφρονῶν. τὰ γὰρ τοιαῦτα σημαίνει ἢ ὅτι μικρόν ἐστι τὸ χρῆμα, ἢ ὅτι καταφρονοῦσιν αὐτοῦ, ἢ καὶ τοῦτο

λέγουσιν ὑποκόρισμα, ὡς φιλοῦντες. **πολύθυρος·** ἔχων πολλὰς θύρας, τρήματα δηλόνοτι ἐν τῷ τριβωνίῳ.

4. **ἀναπεπταμένος·** ἀνοικτός, ἀνεῳγμένος· τὸ δὲ ῥῆμα, πετάννυμι. **ἐπιπτυχή·** ῥάκος, ῥάκιον, λάκισμα, σπάραγμα.

5. **ποικίλος·** πολλὰς μορφὰς ἔχων, ἢ καὶ πολλὰ χρώματα· δαίδαλος, τεχνικός.

6. **ἀλαζὼν** ἐστὶν ὃς ἂν ἐξαπατᾷ λόγῳ ἢ ἔργῳ· φέναξ, ἀγύρτης.

10. **βαρύς·** βάρος ἔχων· βαρύνων· τοὐναντίον ἂν εἴη τὸ ἐλαφρόν.—χαλεπός, ἐχθρός.

11. **παύσασθαι ληροῦσιν·** μηκέτι ληρεῖν. ὁ γὰρ μηκέτι ποιῶν τι, παύεται ποιῶν, καὶ λήγει.

12. **περὶ τῶν ὅλων·** οἱ φιλόσοφοι ἄλλοι ἄλλα ἔφασαν περὶ τοῦ ὅλου. οἱ μὲν γὰρ ἔλεγον ἄπειρον εἶναι τὸ ὅλον· οὕτω καὶ ὁ Παρμενίδης· εἰσὶ δ' οἳ ἔφασκον τὰ πάντα συγκεῖσθαι ἐξ ἀτόμων σωμάτων. πάντα δὲ ταῦτα μάταια εἶναι λέγει ὁ Διογένης.

**κέρᾱτα** κτλ. ἔφη ὁ Ἐμπεδοκλῆς πρῶτον μὲν γενέσθαι τὰ τῶν ζῴων μόρια χωρίς· χωρὶς μὲν κεφαλάς, χωρὶς δὲ χεῖρας καὶ ὀφθαλμοὺς καὶ τὰ λοιπὰ ὡσαύτως· ἔπειτα ἄλλα ἄλλοις συμφύεσθαι, ὥσπερ βοῦς ἔχοντας κεφαλὰς ἀνθρωπίνας καὶ τοὐναντίον, τὰ λεγόμενα βουγενῆ ἀνδρόπρῳρα, τέλος δὲ τὰ γένη τῶν ζῴων ὥσπερ νῦν ἐστι.

13. **κροκοδείλους·** οὕστινας ἐνταῦθα σκώπτει ὁ ἄνθρωπος οὐκ οἶδ' ἔγωγε. μήπως καὶ τοὺς αὐτούς;

[139]

15. **ἀμαθής·** ἄνευ μαθήσεως ἀμαθία, καὶ ἄνευ παιδεύσεως ἀπαιδευσία. παιδεύονται γὰρ οἱ παῖδες, ἵνα ἀμείνους γένωνται· οἱ δὲ ἐὰν μὲν προσέχωσι τὸν νοῦν, μανθάνουσιν· εἰ δὲ μή, οὔ.

16. **κατηγοροῦντα** κτλ. διότι ἀπαρνοῦμαι μὴ εἶναι σοφίαν.

17. **οἰμώζειν λέγε·** κατάρα αὕτη· ἔφασκον γὰρ πρὸς τοὺς ἐχθρούς, οἴμωζε· ἢ οἰμώξῃ· ἢ κλαύσῃ, ἐὰν τοῦτο ποιῇς. οἰμώζοιεν δ' ἂν λέγοντες οἴμοι· αὕτη δ' οἰμωγή.

19. **Πολυδεύκιον·** ὑποκόρισμα τοῦτο· ὦ φίλτατε Πολύδευκες.

20. **μάταιος·** ποιῶν μάτην καὶ ἄλλως.

21. **τῑμωρεῖσθε·** λυπεῖτε ὥσπερ δίκην λαμβάνοντες ἄρ' ὑμῶν αὐτῶν.

22. **τόκος·** τέκνον· ἐνταῦθα δὲ ὥσπερ τέκνον ἀργύριον· οἱ γὰρ δανείζοντες, διδόασι μὲν τἀργύριον, λαμβάνουσι δὲ καὶ τἀργύριον τὸ ἀρχαῖον καὶ τόκον, ὄντα ἄλλο ἀργύριον πρὸς τῷ ἀρχαίῳ.

**τάλαντον** μὲν ἔχει ἑξήκοντα μνᾶς, ἡ δὲ μνᾶ ἑκατὸν δραχμάς, ἡ δὲ δραχμὴ ἓξ ὀβολούς· πόστον οὖν μέρος τῆς δραχμῆς ὁ ὀβολός;

23. **μετ' ὀλίγον** χρόνον· οὐ διὰ πολλοῦ· οὐ πολλῷ ὕστερον.

**Page 48.**

1. **εὔτονα·** εὖ τεταμένα· τείνεται γὰρ τὰ νεῦρα ἐν τῷ σώματι· ἐὰν δὲ χαλάσῃ, ἀσθενὴς γενήσεται ὁ ἄνθρωπος. **ὦμος·** ἄκρος ὁ βραχίων ὦμος καλεῖται, ὅπου δὴ τὸ ἄρθρον τοῦ τε βραχίονος καὶ τοῦ σώματος. ἄλλο μὲν ὦμος, ἄλλο δ' ὠμός.

2. **κόνις·** σποδός. πυρὸς γὰρ κατασβεσθέντος, ἰδοὺ κόνις· καὶ δὴ καὶ κόνις πάρεστιν ἐν ὁδῷ ἡλίου θάλποντος. **κρᾱνίον·** ὀστοῦν κεφαλῆς.

[140]

7. **ἀπορίᾱ** τῶν ἀπόρων ἐστὶ καὶ ἀμηχάνων. οὐ γὰρ ἴσασιν οἱ ἄποροι τί ποιῶσιν.

8. **ἰσοτιμίᾱ** ἂν εἴη ἴσης οὔσης ἑκάστῳ τῆς τίμης· τί μήν;

9. **τοῖς σοῖς·** καὶ γὰρ Λακεδαιμόνιος ἦν ὁ Πολυδεύκης· ἄλλο τι μέμνησαι τῆς μητρός, ἥτις ἦν;

10. **ἐπιτῑμῶ·** μέμφομαι, ὀνειδίζω. **ἐκλελύσθαι·** ἆρ' ὅτι οὐκέτι κατεφρόνουν τοῦ πλούτου;

13. **ἀνέχω·** καρτερῶ· τολμῶ. οὔ φησι δ' ἀπαγγελεῖν τοῖς Λακεδαιμονίοις, διότι, οἶμαι, οὕτως ὠμοὶ ἦσαν τὸν τρόπον.



20. **σκαφίδιον·** σκάφος μικρόν, πλοῖον, πλοιάριον. **ὑπόσαθρον** ὀλίγον σαθρόν· τὸ δὲ μὴ σαθρόν ἐστιν **ὑγιές**. σαθροῦ ὄντος σκαφιδίου **εἰσρεῖ** μὲν **τὸ ὕδωρ, διαρρεῖ** δὲ τὸ σκάφος.

21. **ἐπὶ θάτερα** ἢ ἐπὶ τὸν ἕτερον τοῖχον, ἢ ἐπὶ τὸν ἕτερον.

22. **περιτραπέν·** περιτετραμμένον. ἐὰν δὲ τραπῇ τὸ πλοῖον, τὸ μὲν ἄνω γίγνεται κάτω, καὶ τὸ πλοῖον κατέδυ· οὕτως **οἰχήσεται, φροῦδον** γενήσεται, οὐκέτι πάρεστιν.

24. **μὴ μετανοήσητε· μετανοεῖ** τις, ἐὰν **μεταμέλῃ** αὐτῷ· μεταμέλει δ' αὐτῷ, ἐὰν ἄλλο μὲν πρὶν ἐθέλῃ, ἄλλο δὲ νῦν.

26. **εὐπλοήσομεν·** ἀγαθῇ τύχῃ πλευσόμεθα.

**Page 49.**

2. **περιττά·** τὰ μὴ ἀναγκαῖα, περιττά ἔστιν. **ἠϊόνος·** ἡ ἠϊὼν εἴη ἂν ἡ ἀκτή, τὸ παραθαλάττιον τῆς γῆς μέρος, οὗπερ καὶ ἡ ψάμμος.

3. **μόλις·** οὐ ῥᾳδίως, χαλεπῶς. **πορθμεῖον·** πλοῖον ἐν ᾧ ὁ πορθμεὺς πορθμεύει τοὺς πορθμευομένους διὰ τοῦ πορθμοῦ· πορθμὸς δ' ἐστὶ στενὴ θάλαττα.

5. **ψῑλός·** γυμνός. **ἔπιπλα·** ὅσα φορεῖ. τῆς μὲν οἰκίας τὰ ἔπιπλα

[141]

λέγοις ἂν τὴν σκευήν, τά τ' ἄλλα καὶ δίφρους καὶ τραπέζας· τῆς δὲ νεώς, τὰ ὅπλα. ἐνταῦθα δῆλός ἐστι λέγων περὶ τούτων ὅσα φέρουσιν.

6. **ἀποβάθρα·** διὰ ταύτης ἀποβαίνουσιν οἱ ἐμπλέοντες. ἔστι δὲ κλῖμαξ τις ἢ πίναξ.

7. **διαγιγνώσκω·** διακρίνω ὅστις ἐστίν.

12. **βάκτρον·** βακτηρία, ῥάβδος, ξύλον. **ἀπερρίφθω·** ἀπερριμμένα ἔστω· ἰδού, ἀπορρίπτω ἀνύσας, καὶ φροῦδα ἤδη.

13. **εὖ ποιῶν·** εὖ ἐποίησα οὐ κομίσας· οὐχ ἡμαρτηκέναι λέγει· δῆλος δ' ἐστὶ χαίρων.

15. **προεδρίᾱ·** πρώτη ἕδρα· φανερὸς δ' ἐστὶ καθιζόμενος πρῶτος. **ὑψηλός·** οὐ ταπεινός.

16. **ἐπισκοπῶ** ὢν ἐπισκόπος· διορθῶ πάντα.

17. **εὐφιλής·** φίλτατος.

18. **διτάλαντον·** ἄξιον τὸ φίλημα δυοῖν ταλάντοιν· φίλημα δὲ γίγνεται, ἐὰν δύο τινὲ συμβάλλωσι τὼ στόματε. δῆλον δ' ἐστὶ τίμιον ὂν τοιοῦτο φίλημα, οὐκ ἄξιον.

19. **χεῖλος·** ἕκαστον στόμα δύο χείλει ἔχει.

20. **αὐτοῖς φιλήμασι·** μετὰ τῶν φιλημάτων. **βαθύς·** μακρός.

22. **εὔζωνος·** οὐδὲν ἔχων περιττόν, ὥσθ' ἕτοιμος εἶναι πρὸς ἔργον. **πορφυρίς·** χιτὼν πορφυροῦς, χλαῖνα πορφυρᾶ. χρῶμα δὲ τὸ πορφυροῦν ὅμοιον τῷ ἐρυθρῷ.

23. **διάδημα** περιέχει τὴν κεφαλὴν κύκλῳ· δῆλον δ' ἐστὶ χρυσοῦν ὄν, ὥσπερ βασιλέως ἢ τυράννου. **βλοσυρός·** παχὺς καὶ μέγας.

24. **Γελῷοι** πολῖται τῆς Γέλας· ἡ δ' ἐν Σικελίᾳ τυγχάνει οὖσα.

## Page 50.

2. **τῦφος·** ὄγκος, τρυφή.

3. **ὑπεροψίᾱ** τούτων ἂν εἴη, οἵτινες καταφρονοῦσιν ἄλλων. **βαρῡ́νω·** βάρος βαρύνει δηλονότι, καὶ ποιεῖ καταδῦναι.

6. **ἐφεστρίς·** χλαῖνα· φανερὸς δ' ἐστὶ λέγων τὴν πορφυρίδα.

7. **ἄφες·** οὐκ ἂν φθάνοις ἀποβαλών;

8. **εἶἑν·** ἔστω δή· εὖ γε·

[142]

οὐδέν μοι μέλει.

9. **ὠμότης·** ἀγριότης. **ἄνοια·** τὸ ἄνευ νοῦ εἶναι· λέγει γὰρ δὴ ἄνουν τὸν τύραννον.

11. **ψῑλός·** γυμνός, ἀποβαλὼν τὰ σκεύη ἅπαντα.

12. **παχύς·** οὐκ ἰσχνός· πολὺν σάρκα ἔχων, ἅτε τρυφῶν πάλαι καὶ γαστρίμαργος ὤν.

16. **παλαίστρᾱ·** ἐν ταῖς παλαίστραις ἄλλα τε γυμνάζονται οἱ ἀθληταί, καὶ παλαίουσιν· δήλη γάρ ἐστιν ἡ παλαίστρα ἐπώνυμος οὖσα τοῦ παλαίειν. **ἰδών·** καὶ γὰρ ἀγάλματα τοῦ Ἑρμοῦ εἶδες ἂν ἐν πάσῃ παλαίστρᾳ.

20. **περιβεβλημένος·** περιβέβληνται γὰρ αἱ σάρκες. **ἐπεὶ** ἐὰν μὴ ποιήσῃς ἃ κελεύω . . . .

21. **ὑπερθεὶς** πόδα ὑπὲρ τοῦ τοίχου τῆς νεώς.

22. **στέφανος** ἆθλον ἦν τῶν ἀγώνων· Ὀλυμπίᾱσι μέν, στέφανος κοτίνου· ἐν δὲ τῷ Ἰσθμῷ, σελίνου· ἐν δὲ τῇ Νεμέᾳ, σελίνου· ἐν δὲ τῇ Πυθοῖ, δάφνης.

οἱ δὲ νικῶντες ἦσαν ἐν μεγάλῃ τιμῇ· καὶ τὰ ὀνόματα ἐκηρύττετο ὑπὸ τῶν κηρύκων δημοσίᾳ ἐν τοῖς ἀγῶσι. περὶ τούτων τῶν κηρυγμάτων φανερός ἐστι λέγων.

24. **ἰσοστάσιος·** ἐν σταθμοῖς ἢ τρυτάνῃ ἢ ζυγῷ ἵσταμεν τὰ βάρη· ἐὰν δὲ ταὐτὸν ἕλκῃ ἑκάτερον, ἰσοστάσια λέγοις ἂν αὐτά.

25. **ἀβαρής·** ἐλαφρός, βάρος οὐκ ἔχων.

27. **μαλακίᾱ** φανερὰ δὴ ἐναντία οὖσα τῇ ἀνδρείᾳ.

28. **ἐντάφια** ταῦτ' ἐστὶν ἃ κατετίθεσαν οἱ πενθοῦντες ἐν τῷ τάφῳ. ἐτίθεσαν δὲ σκεύη παντοῖα καὶ κόσμον. **πρόγονοι·** οἱ πρόπαπποι καὶ οἱ λοιποὶ τῶν ἐν γένει ὄντων πάλαι. **ἀξίωμα·** δόξα, μεγάλα ἔργα καὶ μεγάλαι τιμαί.

29. **εἴ ποτε** κτλ. τὰ κηρύγματα τῆς πόλεως φανερός ἐστι λέγων.

## Page 51.

1. **ἀνδριᾱ̀ς** εἰκών ἐστι ἀνδρὸς λιθίνη ἢ χαλκῆ· ταύτας δὲ ἐτίθεσαν τῶν εὐεργετούντων. ἐπὶ δὲ τοῦ λίθου ἐπέγραφον ἐπιγραφάς, τό τ' ὄνομα καὶ ὅ τι ἐποίησε καὶ ηὐδοκίμησε.

[143]

2. **ἔχωσαν·** χώννυμι χῶμα· σωρὸν ποιῶ γῆς.

6. **βαβαί·** ἐπιφώνημα θαυμαζόντων. **ἔνοπλος·** ὢν ἐν ὅπλοις, ὡπλισμένος. τὸ δὲ τρόπαιον σωρὸς σκυλευμάτων· νικήσαντες γὰρ ἐφίλουν οἱ στρατιῶται ἀνάπτειν ὅπλα παντοῖα ἐκ δένδρου ἢ ξύλου, σημεῖον τῆς νίκης.

8. **ἠρίστευσα·** ἄριστος ἂν εἴη ὁ ἀριστεύων· οὗτος δὲ ἔχει τἀριστεῖα, ἆθλα ὄντα ἀρετῆς.

12. **σχῆμα·** ὄψις, σκευή· τὸ ἔξω. **βρενθύομαι·** σεμνύνομαι· μέγα φρονῶ καὶ καταφρονῶ τῶν ἀνθρώπων· ἐπαίρω τὰς ὀφρῦς, ὥστε ῥυτίδας φαίνεσθαι ἐπὶ τοῦ μετώπου.

13. **ἐπὶ τῶν φροντίδων·** ἐν φροντίδι ὤν.

14. **πώγων·** τρίχες αἱ ἐπὶ γενείου φυόμεναι· οἱ δὲ φιλόσοφοι δεινοὶ ἦσαν καθιέναι πώγωνας.

16. **τερατείᾱ·** γοητεία· μαγεία· τὸ τερατεύεσθαι. οἱ μέντοι τοιοῦτοι φένακες ἦσαν οἱ πλεῖστοι.

17. **[=ἱ]μάτιον·** τρίβων. **σκεπαζόμενα·** κρυπτόμενα· τὸ γὰρ σκέπασμα περικάλυμμα.

19. **ἀλαζονείᾱ** ἀλαζόνος ἐστίν· ἀπάτη· δοκεῖ μὲν γάρ, ἔστι δ' οὔ. **κομίζω·** φέρω.

20. **κενοδοξίᾱ·** κενὴ καὶ ματαία δόξα. **ἐρώτησις ἄπορος** ἂν εἴη, εἰ ἀδύνατον λύειν· ἡ μὴ ἔχουσα μηχανήν, ὅπως λυθήσεται.

21. **ἀκανθώδης·** ὥσπερ ἀκάνθας ἔχων. **ἔννοια πολύπλοκος·** φροντὶς ἀμήχανος ἢ τοιοῦτόν τι· περὶ τούτων γὰρ φροντίζουσιν οἱ φιλόσοφοι οὗτοι, ἃ μήθ' ἁπλᾶ ἐστι μήτ' εἰλικρινῆ, ἀλλ' οὕτως συμπεφυρμένα τε καὶ συντεταραγμένα, ὥστ' οὐδεὶς ἂν διακρίνοι, τί ποτε βούλεται.

22. **ματαιοπονίᾱ·** τὸ πονεῖν μάτην καὶ ἄλλως.

23. **λῆρος** ταὐτὸ σχεδὸν καὶ ὕθλος καὶ φλυαρία· χρῆμα γὰρ ἄξιον οὐδενός. ληροῦσι δὴ οἱ τοιοῦτοι καὶ φλυαροῦσι καὶ ὑθλοῦσιν. **μικρολογίᾱ·** τὸ περὶ μικρῶν λογίζεσθαι.

[144]

24. **ἀναισχυντίᾱ·** ὃς ἂν μὴ ἔχῃ αἰσχύνην μηδεμίαν, ἀναιδὴς ὤν.

25. **οὐ λέληθέ με·** ὁρῶ καὶ μάλα.

26. **ψεῦδος·** τὸ μὴ ἀληθές.

28. **πεντηκόντορος** ναῦς πεντήκοντ' ἔχει ἐρέτας ἐρέττοντας κώπαις πεντήκοντα. μεγάλη οὖν.

## Page 52.

4. **λάσιος·** δασύθριξ, πολλὰς τρίχας ἔχων.

7. **ἀποκείρω·** ὁ κουρεὺς ἀποκείρει τὰς τρίχας ἔχων μαχαίρας κουρίδας, ξυρεῖ δ' ἔχων ξυρόν.

8. **πέλεκυς·** ἀξῑ́νη. χρώμενοι δὴ τῷ πελέκει κατακόπτουσι μὲν δένδρα οἱ ὑλοτόμοι, ἐργάζονται δ' οἱ ναυπηγοὶ ναυπηγίᾳ ναυπηγοῦντες τὰς ναῦς. καὶ μὴν ἵνα κόψῃς τι, κατατιθέναι χρὴ ἐπί τινος ἐπικόπου, εἶτα καθικνεῖσθαι τῷ πελέκει.

11. **πρῑ́ων·** ὄργανον τοῦ τέμνειν ἔχον πολλοὺς ὀδόντας· τῷ δὲ πρίονι χρώμενοι πρῑ́ουσιν οἱ πρίσται. ἔστι δὲ καὶ παροιμία· ὥσπερ πρίοντες, ὁ μὲν ἕλκει, ὁ δ' ἀντενδίδωσι· μακρός τοι πρίων οὗτος σημαίνεται.

13. **ἀνθρώπινος·** οἷος ἄνθρωπος.

14. **κινάβρᾱ·** τρίχες δασεῖαι ὥσπερ τράγου.

15. **ἀφέλωμαι·** τὸ ἀφαιρεῖν ταὐτὸ τῷ ἀπολαμβάνειν. **ὀφρῦς·** αἱ ὀφρύες τρίχες εἰσὶν ὑπὲρ τῶν βλεφάρων φυόμεναι.

17. **ἀνατείνων** ἑαυτόν, ὥστε μακρός τε καὶ ὑψηλὸς φαίνεσθαι.

18. **κάθαρμα·** ὅταν ῥύπος ᾖ κατ' οἰκίαν, καθαίρομεν χρώμενοι κορήματι· τὰ δ' ἐκκαθαιρόμενα καθάρματ' ἂν καλοῖτο. καὶ πρός γ' οὕτω καλοῦσι καὶ

τοὺς φαυλοτάτους τῶν ἀνθρώπων.

**ἀποδειλιῶ·** δειλὸς φαίνομαι ἀντ' ἀνδρείου· τὸ δὲ ἀποδειλιᾶν ὥσπερ νόσον τινὰ σημαίνοι ἄν· ὁμοίως δὴ τό τ' ὀφθαλμιᾶν καὶ τὸ ἰλιγγιᾶν. οὕτως ἄρα ἡ δειλία παροξυσμός τις νόσου.

20. **μάλην** ὑπὸ τοῦ ὤμου λέγων εἶναι, λέγοις ἂν ὀρθῶς, μεταξὺ τοῦ τε βραχίονος καὶ τοῦ σώματος. ἐκεῖ κατέκρυψε δὴ τὴν κολακείαν, ἵνα λάθῃ ἔχων.

[145]

22. **κολακείᾱ·** ὁ κόλαξ κολακεύων πάντα ποιεῖ τε καὶ λέγει πρὸς τὸ ἀρέσκειν· ὥστε ψευδής τις ἂν εἴη καὶ σαθρὸς καὶ οὐδὲν ὑγιὴς καὶ φέναξ. **χρήσιμον** λέγοις ἂν ὀρθῶς λέγων ἐκεῖνο εἶναι ᾧ χρώμεθα ἀσμένως.

25. **ἐλευθερίᾱ·** τοὐναντίον τῆς δουλείας· ἡ δὲ **παρρησίᾱ** ἐλευθερία λόγων ὥστε πάντα λέγειν καὶ ῥητὰ καὶ ἄρρητα· ταύτας τοι προσεποιοῦντο μάλιστα οἱ Κυνικοί, ὡς οἰκείας οὔσας. πρὸς τούτοις οὐκ ἔφασαν λυπεῖσθαι οὐδὲ τἄσχατα πάσχοντες· ὥστε τοῦτο τὸ δόγμα **τὸ ἄλυπον**. τοιγαροῦν τοιοῦτοι δὴ ὄντες **γενναῖοι** ἐδόκουν ἑαυτοῖς εἶναι καὶ μεγαλόψυχοι.

28. **μηδαμῶς** ἀπόθου. **κοῦφος·** ἐλαφρός, οὐ βαρύς, εὔφορος, ῥᾴδιος φέρειν.

29. **κατάπλους·** καταπλέοι τις ἂν ἐπὶ τὴν γῆν, εἰσπλεύσας εἰς τὸν λιμένα.

## Page 53.

1. **ῥήτωρ·** δεινός τις λέγειν· οἱ δὲ λέγοντες ἐν τῇ ἐκκλησίᾳ ῥήτορες ἐκαλοῦντο. δημοκρατουμένης γὰρ πόλεως οἱ λέγοντες ἀεὶ πλέον δύνανται τῶν ποιούντων τι ἄνευ κόμπου· αὕτη δὲ ἀτυχία μεγίστη.

2. **ἀπεραντολογίᾱ·** τὸ λέγειν ἀπέραντα καὶ ἄπειρα καὶ μὴ παυσάμενον· τὸ γὰρ πέρας τέρμα ἐστίν. **ἀντιθέσεις καὶ παρισώσεις·** ὀνόματα ταῦτα ῥητορικά. ἡ μὲν ἀντίθεσις ἀντικειμένη λέξις· ἀντίκειται γὰρ ἃ ἀντιτίθεμεν. **ἀντίθεσις** αὕτη, ἐν ᾗ ἑκατέρῳ τῷ κώλῳ τῆς λέξεως ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται ἢ ταὐτὸ ἐπέζευγκται τοῖς ἐναντίοις, οἷον "ἀμφοτέρους δ' ὤνησαν, καὶ τοὺς ὑπομείναντας καὶ τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς δὲ ἱκανὴν τὴν οἴκοι κατέλιπον". **παρίσωσις** δ' ἐὰν ἴσα τὰ κῶλα· οἷον "ἢ διὰ χρημάτων ἀπορίαν, ἢ διὰ πολέμου μέγεθος". ἡ δὲ **περίοδος** λέξις ἔχουσα ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτήν, καὶ μέγεθος εὐσύνοπτον.

[146]

3. **βαρβαρισμός·** τοιαύτη λέξις οἵᾳ χρῷντο ἂν οἱ βάρβαροι. φοβοῦμαι μὴ ἡμεῖς οἱ Ἄγγλοι πολλάκις χρώμεθα βαρβαρισμοῖς· τί γὰρ ἂν πάθοιμεν;

5. **ἤν·** ἰδού, ὅρα.

6. **ἀπόγεια·** τὰ πείσματα τὰ ἀπηρτημένα ἀπὸ γῆς.

8. **εὐπλοῶ·** ἔχω πλοῦν οὔριον. τὸ δ' εὐπλοῶμεν εὐχή.

10. **δεδῃωμένος·** δῃοῦσιν οἱ πολέμιοι κατατέμνοντες τὸν σῖτον ἐν πολεμίᾳ γῇ.

15. **πολυτελής·** πλούσιος.

17. **κατειλήσας·** κατακαλυψάμενος.

18. **ἕωθεν·** ἅμ' ἕῳ· ὄρθριος.

21. **ἔσπευσα·** κατὰ τάχος ἦλθον, δρόμῳ τρέχων.

22. **κραυγή·** οἰμωγή, ψόφος μετὰ θορύβου.

25. **ἐκκλησίā·** σύλλογος πολιτῶν πρὸς τό τε λέγειν καὶ τὸ διακρίνειν ὅ τι ποιητέον. δίκαιος δὲ μετέχειν τῆς ἐκκλησίας πᾶς τις τῶν πολιτῶν, οὐχ οἱ χειροτονητοὶ μόνοι ὥσπερ παρ' ἡμῖν.

27. **συνέχεται** ὡς αἰχμάλωτος δή· ἐμίσουν γὰρ τὸν ἄνθρωπον πάντες.

29. **ἀφθόνως·** πολλοῖς δηλαδή.

## Page 54.

1. **Σικνὼν** πόλις ἐγγὺς τῆς Κορίνθου. **ἐπιτάφιος λόγος** ἐλέγετο ἐπὶ τῷ τεθνηκότι.

5. **καθ' ἡσυχίāν·** ἡσύχως.

7. **ὠρῡ́ομαι·** ὑλακτῶ, βαΰζω.

8. **τύπτομαι·** κόπτομαι· οὕτω ποιοῦσιν οἱ θρηνοῦντες, κόπτοντες τὰ στήθη.

9. **θάπτωσι·** εἰκὸς γὰρ δὴ τούς τε κύνας καὶ τοὺς κόρακας τρώγειν τὸν νεκρόν· ἀλλ' οὐδὲν αὐτῷ μέλει.

10. **γεννάδāς·** γενναῖος. χρῶνται δὲ τῷ γεννάδας κατ' ἔθος μετὰ γέλωτος ἢ εἰρωνείας.

11. **δικαστήριον·** ἐν ᾧ δικάζονται δίκας. ὅστις δὲ τῶν ἐν Ἅιδου δικαστής, καταμαθήσῃ ὕστερον.

13. **μετελευσόμεθα** ὡς κατακομιοῦντες.

20. **πορθμεῖα·** μισθὸς τοῦ πορθμεύειν. ἔδει δὲ τοὺς νεκροὺς ὀβολὸν δοῦναι τῷ Χάρωνι.

[147]

22. **ἀνθ' ὧν·** ἐπειδή.

## Page 55.

1. **ἄγχω** λαβόμενος τοῦ τραχήλου, ὥστε μηκέτι πνεῖν.

8. **ὠνάμην·** κέρδος ἐκτησάμην· λέγει δ' εἰρωνικῶς. τὸ δὲ ῥῆμα, ὀνίνημι. **μέλλω·** δεῖ, χρή· εἵμαρται. **ὑπερεκτίνω·** ἀργύριον ἐκτίνω ὑπέρ τινος.

11. **νεωλκῶ·** ἐπὶ γῆν ἕλκω τὴν ναῦν.

17. **αὐχῶ·** κομπάζω. **προῖκα·** ἄνευ μισθοῦ· ἀμισθί.

18. **ἤντλησα·** ἐν τῷ σκάφει ὕδωρ ἐστί· τοῦτο δ' ἐξαντλοῦσιν ἵνα μὴ καταδύῃ τὸ πλοῖον.

20. **ἐπιβάται** οὗτοι, οἳ ἂν ἐπιβῶσι μὲν τῷ πλοίῳ, ναῦται δὲ μὴ ὦσιν.

24. **χαρίεις·** γελοῖος, κομψός.

25. **Αἰακὸς** εἷς ἦν τῶν ἐν Ἅιδου δικαστῶν· ἐνταῦθα δὲ φύλαξ.

26. **ἐνοχλῶ·** ὄχλον παρέχω, πράγματα παρέχω, ταράττω.



## Page 56.

11. **περιηγοῦμαι** ὁδηγὸς ὤν, ὥσπερ δεικνὺς ξένῳ τὰ μάλιστα ἄξια ὁρᾶν.

14. **κεφαλαιώδης·** τὰ κεφάλαια οὐκ ἂν ἁμάρτοις λέγων τὰ μέγιστα, καὶ οἷ' ἂν ἀσμένως ἴδοι τις.

15. **διαπερῶ** καὶ διαπορευόμενος καὶ διαπορθμεύων· ἐνταῦθα δὲ πότερον εἰκὸς λέγειν;

16. **Πυριφλεγέθων·** ποταμὸς ἐν Ἅιδου πυρὸς μεστός.

17. **πυλωρὸς** φυλάττει τὰς πύλας.

18. **Ἐρινῦς·** αἱ Ἐρινύες διώκουσι τοὺς φονέας καὶ δίκην λαμβάνουσιν.

19. **ἔνδοξος·** ἐν δόξῃ ὤν· κλεινός· μεγάλου ἀξιώματος.

20. **Ἀγαμέμνων** τε καὶ οἱ ἄλλοι ἥρωες ἦσαν, περὶ ὧν ἐποίησεν ὁ Ὅμηρος· οὐ γάρ;

23. **ῥαψῳδίᾱ·** οἱ ῥαψῳδοὶ ᾖδον τὰ τοῦ Ὁμήρου.

24. **χαμαί·** ἐπὶ τῆς γῆς, κάτω.

25. **ἀμενηνὰ κάρηνα·** ἀσθενεῖς κεφαλαί· ἡ δὲ λέξις τοῦ Ὁμήρου.

27. **Κῦρον** μὲν οἶσθα που βασιλέα ὄντα τῶν Μήδων, **Κροῖσον** δὲ τῆς Λυδίας, Ἀσσυρίων δὲ **Σαρδανάπαλλον**, τῆς δὲ Φρυγίας **Μίδαν**, πάντας γενομένους πλουσιωτάτους· καὶ δὴ καὶ τὸν **Ξέρξην** τίς οὐκ οἶδε καταστρέψαντα

[148]

τὴν Ἑλλάδα; ζητητέον μέντοι ἐν τῷ λεξικῷ περὶ τούτων.

## Page 57.

3. **φρίττω·** φοβοῦμαι, ὥστε ὀρθὰς ἀναστῆναι τὰς τρίχας ἁπάσας κατὰ τὸ σῶμα. **ἐζεύγνῡ** μὲν τὸν Ἑλλήσποντον ποιήσας τὴν γέφυραν ἐκείνην· ἔπλει δὲ διὰ τῶν ὀρῶν ποιήσας τὴν διώρυχα τὴν ἐπ' Ἄθω.

6. **ἐπὶ κόρρης·** τὴν κόρρην ἴδοις ἂν ἑκατέρωθε τοῦ μετώπου· κρόταφοι δ' οὗτοι· τύπτει δέ τις ἐπὶ κόρρης ὅταν καθίκηται ὑπτίᾳ τῇ χειρί. **ἐπίτρεψον·** ἔασον.

7. **διαθρύπτω·** θραύω, ῥήγνυμι.

9. **προσπτῡ́ω** ἀφιεὶς πτύσμα ἐκ τοῦ στόματος.

13. **Πῡθαγόρᾱς** φιλόσοφος ἦν ἐν τοῖς κλεινότατος· δόγμα δ' ἦν αὐτοῦ, ὅτι αἱ ψυχαὶ τῶν τ' ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων μετὰ τὸν θάνατον εἰς ἄλλα σώματα ἐνδύεται. ἔφασκε γοῦν τὴν ἑαυτοῦ ψυχὴν πάλαι πεφυκέναι ἐν τῷ τοῦ Εὐφόρβου σώματι· ὁ δ' Εὔφορβος ἥρως ἦν τῶν Τρωικῶν. τεκμήριον δέ· ἰδὼν γὰρ ἐν τῷ τῆς Ἥρας ἱερῷ τῷ ἐν Ἄργει ἀσπίδας ἀνακειμένας, εὐθὺς ἐπέγνω τὴν τοῦ Εὐφόρβου, ἥτις εἴη.

17. **χρυσοῦς** ἦν ὁ μηρός, κατὰ τὰ λεγόμενα· ὁ δὲ μηρὸς τὸ ἄνω μέρος τοῦ σκέλους, μεταξὺ ὂν τοῦ τε γόνατος καὶ τοῦ ἰσχίου.

20. **κυάμους·** καὶ γὰρ ἀπηγόρευεν ὁ Πυθαγόρας κυάμους μὴ ἐσθίειν. πρὸς τί μέντοι λέγει τοῦτο, ἄλλα τε λέγουσιν οἱ ἑρμηνευταὶ καὶ ὅτι ἔοικε κεφαλαῖς τοκέων.

22. **τοκήων·** τοκέων· ἰωνικῶς ὁ Πυθαγόρας.

24. **Σόλων·** νομοθέτης Ἀθηναῖος. **Θαλῆς** φιλόσοφος Μιλήσιος.

25. **Πιττακὸς** τύραννος Μυτιλήνης· ἦν δὲ καὶ οὗτος τῶν ἑπτά, σοφωτάτων ὄντων.

27. **μόνοι τῶν ἄλλων·** φαιδροὶ μὲν οὗτοι, οἱ δ' ἄλλοι οὔ.

[149]

28. **σποδός·** κόνις. **ἐγκρυφίᾱς ἄρτος·** ὁ ἐν τῇ σποδῷ ὠπτημένος· κεκρυμμένος γὰρ ἦν ἐν ᾧ ὠπτᾶτο.

29. **φλύκταινα** ἐπιγίγνεται ἐάν τις καύσῃ τὸν χρῶτα· ἔστι δὲ δέρμα μὲν ἔξω, ὕδωρ δ' ἔνδον. οὗτος δ' ἐξηνθηκὼς ἦν, ἐπεὶ αἱ φλύκταιναι ἐπῆσαν ὥσπερ ἄνθη.

## Page 58.

1. **ἡμίεφθος·** ἐὰν μέν τι εἰστιθῇς εἰς ὕδωρ, τὸ δ' ὕδωρ ζέῃ, ἕψεις τὸ ἐνόν· ὁ οὖν Ἐμπεδοκλῆς ἔρριψεν ἑαυτὸν εἰς τοὺς κρατῆρας τῆς Αἴτνης· ὥστ' εἰκὸς αὐτὸν φαίνεσθαι ἐν Ἅιδου ὥσπερ ἡμίεφθον.

3. **χαλκόπους·** διὰ τὸ χαλκᾶ φορεῖν πέδιλα. **τί παθών·** ἐκ τίνος ὀργῆς· ἄλλο δέ τι τὸ τί μαθών, τίνι λόγῳ πειθόμενος.

7. **κόρυζα** καταρρεῖ ἐκ τῆς ῥινός, ὅταν νοσῶμεν διὰ τὸ ψῦχος· οἱ δὲ ἀνόητοι καὶ μῶροι τὸ αὐτὸ πάσχουσιν, ἅτε ἀκρατεῖς ὄντες τοῦ ῥεύματος. ἐνταῦθα οὖν σημαίνει τὴν ἐσχάτην μωρίαν· ὦφλε γὰρ μωρίαν ὁ Ἐμπεδοκλῆς οὕτως ἀποθανών, ὡς θεός τις δὴ δόξων.

**αὐταῖς κρηπῖσιν·** μετὰ τῶν πεδίλων. λέγεται δὲ θάτερον τῶν πεδίλων καταλειφθῆναι ἐπὶ τοῦ τῶν κρατήρων χείλους, καὶ διὰ τοῦτο φανερὸν γενέσθαι ὅπως ἀπέθανεν.

8. **σόφισμα·** τέχνη, ἀπάτη.

9. **ἐφωρᾱ́θης·** ἐξηυρέθης, φανερὸς ἐγένου τεθνηκώς· ᾤετο γὰρ ὁ ἄνθρωπος λήσειν ἀποθανών, ὥστε δοκεῖν ἀναπεπτάσθαι εἰς τὸν οὐρανόν.

11. **Νέστωρ·** γέρων παρ' Ὁμήρῳ, λαλίστατος ὤν. **Παλαμήδης·** σοφός τις καὶ δεινὸς ἐξευρεῖν θαυμάσια· ἦν δὲ καὶ οὗτος τῶν Τρωικῶν.

17. **γνώρισμα·** σημεῖον ᾧ γιγνώσκεταί τι.

18. **σῖμός·** ὃς ἂν τὴν ῥῖνα ἔχῃ ἀνατετραμμένην, ὥσπερ χοῖρος ἢ ἀνὴρ Αἰθίοψ. κατατακείσης δὲ τῆς σαρκός, τίς οὐχὶ σιμός; ὅμοια γὰρ τὰ κρανία.

24. **βαδίσματα·** ὅπως βαδίζουσιν. ἴσθι γὰρ τοὺς φιλοσόφους θαυμασίως ὡς σεμνῶς βαδίζοντας.

[150]

25. **ἄκροι·** ἄριστοι.

27. **Ἀρίστιππος·** μαθητὴς μὲν Σωκράτους, αὐτὸς δὲ πρῶτος τῶν Κυρηναϊκῶν λεγομένων.

28. **Πλάτων** ἀπεδήμει παρὰ Διονυσίῳ τῷ Συρακουσῶν τυράννῳ· διὰ τοῦτ' ὀνειδίζει αὐτὸν ὁ Λουκιανὸς ὡς θεραπεύοντά τε καὶ κολακεύοντα· οὐκ ὀρθῶς λέγων. **ἀποπνέων·** ὄζων· τὸ γὰρ πνεῦμα ὦζε μύρου, ἡ δ' ὀσμὴ ἡ τοῦ μύρου ἡδίστη.

## Page 59.

6. **καὶ ταῦτα·** καί περ.

7. **εἰρωνείᾱ·** ὁ εἰρωνεύων ἄλλα μὲν λέγει, ἄλλα δὲ βούλεται.

9. **Χαρμίδης** καὶ **Φαῖδρος** φίλω Σωκράτους· ὁ δὲ τοῦ Κλεινίου, Ἀλκιβιάδης, μαθητής ποτε γενόμενος.

12. **ὀλιγωρῶ·** καταφρονῶ· ἐν ὀλιγωρίᾳ ποιοῦμαι· ὀλίγωρός εἰμι.

5

ἡ Ταντάλου ποινὴ δεδήλωται ἐν τῷ ἑνδεκάτῳ τῆς Ὀδυσσείας. τίς δ' οὐκ ἂν ἡδέως ἀναγνοίη μῦθον οὕτω καλόν;

23. **ὀδῦ́ρῃ·** οἰμώζεις.

24. **δίψα·** τὸ δίψος. διψῇ δέ τις ἐὰν βούληται πίνειν.

25. **ἀργός·** νωθρός· ῥᾴθυμος. ὁ μηδὲν ἐργαζόμενος, οὗτος δὴ ἀργός. εἴθε γὰρ μὴ σύ γ' ἀργὸς εἴης, ὦ παῖ.

26. **κοῖλος·** τοιοῦτο δὴ τὸ σχῆμα, οἷον τοῦ ποτηρίου· τοῦτο γὰρ κοῖλον. ἔχε γὰρ ὑπτίαν τὴν χεῖρα· ἰδού, κοίλη χείρ.

## Page 60.

3. **οὐ φθάνω** κτλ. πρὶν καὶ βρέξαι τὸ χεῖλος, διαρρεῖ διὰ τῶν δακτύλων. **βρέχω·** ὑγρὸν ποιῶ.

5. **ξηρός·** τοὐναντίον τοῦ ὑγροῦ.

8. **πεινῆν·** πεινῶμεν ὅταν βουλώμεθα ἐσθίειν. αὕτη δὲ ἡ πεῖνα.

11. **κόλασις·** ποινή, καταδίκη. κολάζεται γὰρ ὁ ἁμαρτών, δίκην διδούς.

15. **ἐνδείᾳ·** ἐνδεής ἐστί τις, ἐὰν δέηταί τινος, μὴ ἔχων ἀλλὰ ζητῶν ἔχειν. **ποτόν·** πόσις· ὅ τι ἂν πίνωμεν, ποτόν.

[151]

21. **ἄκρατος·** οὐ κεκραμένος μεθ' ὕδατος. **ἐλλέβορος·** φυτόν, ἐξ οὗ φάρμακον ἐποίουν τοῖς μαινομένοις.

22. **λυττῶ·** ἡ λύττα μανία ἐστίν.

24. **ἀναίνομαι·** ὀκνῶ· οὐκ ἐθέλω. ἀπαγορεύω.

6

## Page 61.

περὶ μὲν τοῦ θ' Ὑακίνθου καὶ τοῦ Ναρκίσσου καὶ τῆς Λήδας ἤδη εἴρηται· ὁ δὲ Νιρεὺς κάλλιστος ἦν πάντων ὅσοι ὑπὸ Τροίαν ἦλθον· ὁ μέντοι Ἀχιλλεὺς καὶ αὐτὸς πάνυ καλός. καὶ ἡ μὲν Τυρὼ ἔνδοξος ἦν διὰ τὸ κάλλος· τὴν δ' Ἑλένην τίς οὐκ οἶδε καλλίστην ἀνθρώπων γενομένην;

3. **ξεναγεῖ** τις ἄγων τοὺς ξένους ἡγεμὼν ὤν, καὶ δεικνύων ἕκαστα. **νέηλυν·** νεωστὶ κατελθόντα.

7. **τὰ κάλλη·** καλοί τε καὶ καλαί.

15. **ἐπληρώθησαν·** οἱ ναῦται πληροῦσι τὴν ναῦν· δι' ὅπερ καλοῦνται πλήρωμα.

18. **ἀνάστατοι** κτλ. διεφθάρησαν· οἱ γὰρ νικήσαντες ἀνιστᾶσι τοὺς πρὶν πολίτας, καὶ δουλώσαντες αὐτοὺς ἀποπέμπουσιν ἄλλοσέ ποι.

20. **ἀνεμέσητον·** οὐ νέμεσις· οὐκ ἂν θαυμάζοι οὐδείς, οὐδ' ἂν θεοὶ ὀργισθεῖεν τῷ τοιούτῳ· εἰκὸς γάρ.

21. **ἄλγεα·** ἄλγη· στίχος οὗτος Ὁμηρικός.

23. **βαφή·** χρῶμα. βάπτοντες γὰρ βαφῇ οἱ βαφῆς ἀλλοιοῦσι τὰ χρώματα.

26. **συνίεσαν·** ᾔδεσαν, ἠπίσταντο. **ὀλιγοχρόνιος·** διατελῶν ὀλίγον χρόνον, ζῶν οὐ μακρὸν βίον.

27. **ἀπανθῶν·** ἀπολλὺς τὸ ἄνθος.

## Page 62.

2. **ἐπιλέγομαι·** αἱροῦμαι.

6. **Πλούτων·** Ἅιδης· βασιλεὺς μὲν τυγχάνει ὢν τῶν κάτω, Διὸς δὲ ἀδελφός. καλεῖται δὲ Πλούτων, οἶμαι, ἐπεὶ ὅ τ' ἄλλος πλοῦτος καὶ χρυσὸς ἐν τῇ γῇ κεῖται.

7. **παροικῶ·** οἰκῶ ἐγγύς· γείτων εἰμί.

[152]

9. **ὁμόνεκρος·** νεκρὸς ἅμα μεθ' ὑμῶν.

14. **ἀνδράποδον·** δοῦλος. ὁ γὰρ ἀνδραποδιστὴς ἀνδραποδίζων βίᾳ ἀφαρπάζει τοὺς ἐλευθέρους καὶ δουλοῖ.

19. **μῑσῶ·** τοὐναντίον τῷ ἀγαπῶ.

20. **ὀλέθριος·** κάκιστος· ἄξιος ὀλέθρου. **ἀπέχρησεν·** ἅλις ἦν, ἱκανὸν ἦν.

21. **περιέχομαι·** ἀντέχομαι, ἀσπάζομαι, φιλῶ.

22. **ἀνῑῶν·** λυπῶν.

24. **στέρομαι·** ἐνδεὴς εἰμί· οὐκ ἔχω.

25. **μωραίνω·** μῶρός εἰμι. **ὁμόψηφος·** ψηφιζόμενος ταὐτά· ὁμόψηφος δ' ὁ Πλούτων ἐὰν ὁμολογῇ ἐκείνοις καὶ ἐπαινέσῃ ἃ λέγουσιν.

26. **στεναγμός·** στόνος· τὸ στένειν.

Page 63.

1. **στασιάζειν·** στάσιν ἐμποιεῖν.

4. **οὕτω** κτλ. οὔ φημι παύσεσθαι.

9. **προσκυνεῖσθαι·** τοὺς θεοὺς προσκυνοῦμεν. οὗτοι δ' ἔδοξαν αὐτοὶ ἑαυτοῖς θεοὶ εἶναι. **ἐντρυφῶ·** καταγελῶ, ἐπισκώπτω.

10. **τὸ παράπαν·** παντελῶς· τὸ πᾶν.

11. **οἰμώξεσθε·** κλαύσεσθε. **ἀφῃρημένοι·** ἐστερημένοι· ἐνδεεῖς ὄντες.

12. **κτήματα** ὅσα κέκτηταί τις, ὅσ' ἔχει.

17. **τὸ γνῶθι σαυτόν·** γνώμη αὕτη Σόλωνος· πῶς γὰρ οὐ χρὴ πάντα τινὰ γνῶναι ἑαυτόν, οἷός ἐστιν;

18. **πρέπει·** οἰκεῖόν ἐστιν· ἁρμόττει· εὖ ἔχει.

ὁ μὲν Τροφώνιος, ἀδελφὸς Ἀγαμήδους, ἀποθανὼν ἥρως ἐγένετο, χρηστήριον δ' εἶχεν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας· Ἀμφίλοχος δ' ὁ Ἀμφιαράου συνέπλει ἐπὶ τὴν Τροίαν· καὶ οὗτος ἀποθανὼν ἐσέβετο ὡς ἥρως ὤν.

21. **κατηξιώθητε·** ἄξιοι ἐδόξατε.

23. **ὑπειλήφασιν·** νενομίκασιν. ἔδοξεν αὐτοῖς οὕτως ἔχειν.

25. **δοξάζω·** δοκῶ, νομίζω.

**Page 64.**

2. **προειδώς·** εἰδὼς πρὶν καὶ γενέσθαι.

5. **ἀποκριτέον·** δεῖ ἀποκρίνεσθαι.

[153]

6. **μαντεύομαι·** ὁ μάντις μαντεύεται, ἑρμηνεύων τὰ τῶν θεῶν καὶ προλέγων τὰ μέλλοντα.

**κατέλθῃ** εἰς τὸ ἄντρον ἐν ᾧ ἦν τὸ χρηστήριον· ἦν γὰρ ἐν τῷ μαντείῳ χάσμα τῆς γῆς, ἐοικὸς κριβάνῳ· τὸ δὲ βάθος ἄν τις εἰκάζοι ὀκτὼ σχεδὸν εἶναι πήχεων. καὶ ἐπειδάν τις ἔλθῃ, κλίμακα κομίζουνσιν αὐτῷ. καταβάντι δ' ἐστὶν ὀπή, εὐρεῖα μὲν δύο σπιθαμάς, ὑψηλὴ δὲ μίαν. ὁ κατιὼν οὖν κατακλίνει ἑαυτὸν πρὸς τὸ ἔδαφος, μάζας ἔχων ἐν χεροῖν μεμαγμένας μέλιτι, καὶ τοὺς πόδας προεμβάλλει εἰς τὴν ὀπὴν μέχρι τῶν γονάτων· καὶ δὴ καὶ εὐθὺς ἐφειλκύσθη τὸ λοιπὸν σῶμα ὥσπερ ποταμοῦ καταφέροντος. τὰ δὲ μετὰ ταῦτα ἐν ἀρρήτοις· μανθάνουσι μέντοι τὰ μέλλοντα ἁμωσγέπως.

10. **ἐσταλμένος·** στολὴν ἔχων· ἐνδεδυμένος. **ὀθόναι·** ἐσθὴς λινῆ.

14. **πρὸς τῆς μαντικῆς·** μαρτύρεται τὴν μαντικήν.

15. **σύνθετον·** συμμεμειγμένον.

18. **ἡμίτομον·** τὸ ἥμισυ αὐτοῦ δίχα τετμημένου.

19. **χρῇ·** ὁ μὲν θεὸς χρῇ, ὁ δὲ ἐρωτῶν χρῆται. τὸ δὲ χρησθέν, χρηστήριον.

9

23. **λογίζομαι·** ποιοῦμαι λογισμόν, ὁπόσα ἐστιν.

24. **ὀφείλω** ὅ τι ἂν δέῃ μ' ἀποδοῦναι τῷ χρήστῃ. τὸν μὲν ὀφείλοντα ὀφειλέτην λέγοις ἄν, τὸ δ' ὀφειλόμενον ὀφείλημα.

**Page 65.**

1. **ὡρίσθαι·** ἀκριβῶς βεβαιῶσθαι· τὸ γὰρ ὁρίζειν ἂν εἴη τὸ ὅρους περιιστάναι.

2. **ἀπράγμων·** ἄνευ πραγμάτων καὶ ὄχλου.

3. **ἐντειλαμένῳ·** κελεύσαντί σοι. **πέντε δραχμῶν·** ἡ τίμη αὕτη.

6. **Ἀϊδωνεύς·** Ἅιδης. **ὠνησάμην·** ἐπριάμην· ἠγόρασα.

7. **τροπωτήρ·** τροπός· δεσμὸς δ' οὗτος ἐρετμοῦ· τούτῳ γὰρ δεδεμένη ἦν ἡ κώπῃ ἐκ τοῦ σκαλμοῦ.

[154]

9. **ἀκέστρᾱ·** βελόνη· στύραξ σιδηρᾶ· τῇ δ' ἀκέστρᾳ χρώμενος ῥάπτοις ἂν τὸ ἱστίον.

12. **κηρός·** αἱ μέλιτται ἐν τοῖς σίμβλοις ἀποτιθέασι μὲν μέλι, ποιοῦσι δὲ καὶ κηρόν. **ἐπιπλάσαι·** τὸ ἐπιπλάττειν οὐ πολὺ διαφέρει τοῦ ἀλείφειν. **τὰ ἀνεῳγότα·** τὰς ὀπὰς λέγει καὶ τρήματα τὰ ἐν τῷ σκάφει.

13. **ἧλος·** πάτταλος. **καλῴδιον·** κάλως οὐ παχύς. **ὑπέραν·** αἱ ὑπέραι ἐξάπτονται ἐξ ἐσχάτης τῆς κεραίας ἑκατέρωθεν· ταύτας τείνοντες ἢ χαλῶντες οἱ ναῦται κινοῦσι τὸ ἱστίον.

15. **ἄξια** μέν, ἐὰν πρίῃ μισθοῦ μικροῦ· τίμια δ', ἐὰν πολλοῦ.

18. **λοιμός·** νόσος ἐπιδήμιος καὶ δεινή.

19. **ἀθρόοι·** πολλοὶ ἅμα γενόμενοι.

20. **ἀποκερδαίνω·** πλεονεκτῶ· κέρδος ἔχω. **παραλογίζομαι·** οὐκ ὀρθῶς λογίζομαι· καὶ γὰρ ἂν λάθοι πλεονεκτήσας, πολλῶν κατελθόντων, εἰ κλέψαι τι, μηδὲ πάντα τὰ πορθμεῖα ἀποδοίη τῷ δεσπότῃ.

21. **καθεδοῦμαι·** μέλλω καθίζεσθαι.

25. **παρατείνω·** μηκύνω· ἀναβάλλομαι. μέλλω συχνὸν χρόνον.

28. **ἀνάπλεως·** πλήρης, μεστός, πλησθείς. **ὁ τραυματίᾱς** τραυματισθείς τις ἂν εἴη· τραυματίζομεν δὲ παίοντες ξίφεσιν ἢ λίθοις ἢ τοῖς τοιούτοις.

## Page 66.

1. **ἐξῳδηκώς·** οἰδεῖ τις τὴν γαστέρα ὅταν μεγάλη καὶ παχεῖα γένηται ἡ γαστήρ. ὁ δὲ τοιοῦτος ἂν καλοῖτο γάστρις ἢ γάστρων· οὗτοι δ' ἐξῳδηκότες ἦσαν οὐ διὰ τὴν τρυφήν, ἀλλὰ πιόντες τὸ φάρμακον. **ὠχρός·** λευκὸς τὸν χρῶτα.

5. **περιμάχητος·** περὶ ὧν μάχονται.

7. **πικρῶς·** ὠμῶς· νηλέως· ἀνοίκτως καὶ ὀργίλως.

## 10

9. **γεγηρακώς·** γηράσκων γίγνεταί τις γέρων.

11. **κλῆρος·** τὸ καταλειφθὲν ὅταν τις ἀποθάνῃ.

[155]

21. **ἀντιποιοῦμαι·** ἀξιῶ ἔχειν. **προσήκοντες·** οἰκεῖοι.

23. **θεραπεύω·** κολακεύω· πάντα ποιῶ ὥσπερ θεράπων τις.

24. **πρόδηλα** κτλ. φανερὰ ἡ ἐπιβουλὴ πᾶσιν.

25. **ῥαΐζω·** ῥᾷον γενέσθαι τὸ ῥαΐζειν· λέγει μέντοι τὴν νόσον, ἐὰν κουφισθῇ ὀλίγον. **ποικίλος·** δόλου καὶ ἀπάτης μεστός· οὐχ ἁπλοῦς οὐδ' ὑγιής.

26. **προαπιόντων·** εἴθε φθάσαιεν αὐτὸν ἀποθανόντες.

27. **ἐπιχάσκω·** ἐπιθυμῶ σφόδρα καὶ ἱμείρω, ὥσπερ ἀνοίξας τὸ στόμα. τὸ μέντοι σχῆμα τῶν ἐσθιόντων· χανόντες γὰρ ἐγκάπτουσι τὸ ἐσθιόμενον.

## Page 67.

1. **γελοῖα** κτλ. ἐὰν ταῦτα πάθωσιν, ἔσται γελοῖόν τι πρᾶγμα.

2. **ψῡχαγωγῶ·** ἄγει τὰς ψυχὰς ὅποι ἂν ἐθέλῃ, ἐξαπατῶν ἐλπίσι ματαίαις.

3. **ἔρρωται·** ῥώμην ἔχει· ἰσχυρός ἐστιν.

5. **βόσκω·** δίδωμι σῖτον, νέμω.

7. **Ἰόλεως**, Ἡρακλέους ἑταῖρος, καθ' ἕνα τινὰ λόγον ἀποθανὼν εἶτ' ἀνῆλθεν ἐξ Ἅιδου ὡς βοηθήσων τοῖς τοῦ Ἡρακλέους παισίν.

**ἀνηβῶ·** ἑτέραν ζωὴν ἔχω· ἀναβιώσκομαι.

8. **ὀνειροπολῃθείς·** περὶ τοῦ πλούτου ὀνειροπολοῦντες πάλαι· ὄναρ ἀπολαύοντες αὐτοῦ, οὐχ ὕπαρ.

10. **ἀμέλει·** μηδέν σοι μελέτω· ποιήσω γὰρ ταῦτα.

11. **ἑξῆς·** κατὰ κόσμον· πρῶτον, δεύτερον, τρίτον, καὶ ὡσαύτως τοὺς ἄλλους.

13. **πρωθήβης·** νεανίας πρώτης ἥβης. ἔστι δὲ τῶν ποιητῶν ἡ λέξις.

20. **περιμένω·** μένω ἕως ἂν ἔχω τι.

24. **παραχωρῶ·** ἐγὼ μὲν ἄπειμι, ἄλλος δ' ἐπέρχεται.

25. **νομοθετῶ·** νόμους τίθεμαι.

## Page 68.

1. **πρὸς ἡδονήν·** ἡδέως.

2. **διάταξις·** ὅτι οὕτως διατάττεται τὰ πράγματα, ὅτι ἔχει οὕτως.

4. **ἐχρῆν** εἶναι, ἀλλ' οὔκ ἐστιν οὕτως.

[156]

6. **ἀναστρέφεσθαι·** ἔμπαλιν χωρεῖν, ἐκ τοὐναντίου· οὐ δικαίως ἂν φθάνοι ἀποθανὼν ὁ νεώτερος τὸν πρεσβύτερον.

7. **ὑπέργηρως·** γεραίτατος· γέρων καθ' ὑπερβολήν. **μόλις·** μόνον οὐκ. ὀλίγου δέω.

8. **ἐπικεκῡφώς·** ἐπικύπτει μὲν ὁ μὴ ὀρθὸς στάς· οὗτος δ' ἐπερείδεται τοῖς θεράπουσιν. **κόρυζα** μὲν ῥεῖ ἐκ τῆς ῥινός· λήμη δ' ἐκ τῶν ὀφθαλμῶν· ῥεῦμα δ' ἑκάτερον ὀνομάζουσιν οἱ ἰατροί.

10. **ἔμψυχος τάφος·** νεκρὸς ἔτι ζῶν· παράδοξον δὴ τοῦτο.

12. **ἐρρωμένος·** ῥώμην καὶ σθένος ἔχων. τὸ δ' ἐναντίον ἄρρωστός τε καὶ ἀσθενής. **ἄνω ποταμῶν** χωροῦσι πηγαί· οὕτω λέγει ὁ Εὐριπίδης περὶ τὰ παρὰ φύσιν· κατὰ φύσιν γὰρ ῥεῖ ὁ ποταμὸς κάτω εἰς τὴν θάλατταν. καὶ δὴ καὶ ἄλλη ἐστὶ παροιμία τοιαύτη· ἅμαξα τὸν βοῦν ἕλκει.

14. **ἵνα μὴ ἐθεράπευον** ὥσπερ καὶ θεραπεύουσιν.

16. **συνετώτερα·** σοφώτερα, βελτίω.

19. **εἰσποιῶ** υἱόν τινι, ἐὰν μὴ ἔχῃ κατὰ γένος· ὁ δὲ τοιοῦτος υἱὸς εἰσποιητός.

20. **ὀφλισκάνω·** ὀφείλω. γέλωτα δ' ἂν ὄφλοι τις, ἐὰν γελοῖος ᾖ· οὕτω καὶ τὸ ὀφλισκάνειν μωρίαν καὶ ῥᾳθυμίαν καὶ δειλίαν καὶ αἰσχύνην καὶ τὰ τοιαῦτα. **πρό·** πρὶν κατορύττεσθαι ἐκείνους· πρὶν ταφῆναι.

24. **γρᾱῶν·** γεραιὰ γυνὴ γραῦς.

28. **πλάττομαι·** ψεύδω· ἀπατῶ· δοκῶ μέν, ἀλλ' οὔκ εἰμι. κυρίως δὲ πλάττει ὁ πλάστης τά τ' ἄλλα καὶ τὰ πήλινα· αὐτίκα γὰρ ὁ κεραμεὺς λαβὼν

πηλὸν πλάττει ὑδρίαν, καὶ ὁ κοροπλάστης κόρας ὥστ' ἀθύρματα εἶναι ταῖς κόραις. **ἐραστής·** θεραπεύων καὶ φιλῶν.

29. **διαθήκη** ἢ διαθῆκαι· τῇ διαθήκῃ διατιθέμεθα τὴν οὐσίαν· κατὰ δὲ τὴν διαθήκην κληρονομεῖ ὁ κληρονόμος, λαβὼν τὸν κλῆρον τὸν καταλειφθέντα, ἐπειδὰν τάχιστα ἀποθάνῃ ὁ πρότερον ἔχων.

[157]

**ἀπεκλῄσθησαν·** ἔξω ἦσαν. **δορυφορεῖ** ὁ δορυφόρος ἔχων δόρυ· οὗτος δὲ στρατιώτης ὢν φυλάττει τὸ σῶμα τοῦ τυράννου. ἐνταῦθα κατὰ μεταφορὰν τοὺς πλεονέκτας λέγει.

## Page 69.

2. **ὑποπρῑ́ουσι·** πρίουσι λάθρα· τοῦτο δὲ ποιοῦσιν οἱ ὀργιζόμενοι μέν, ἀμήχανοι δ' ὄντες. ὅμοιον δὲ τὸ δάκνειν ἑαυτὸν καὶ τὸ δάκνειν στόμα.

5. **μύχιος·** λαθραῖος· λάθρα· ἀδήλως.

6. **ὑποκρώζω·** ὀλίγον κρώζω· κρώζει δὲ κυρίως ἡ ἀλεκτρυών. **αὐτίκα·** εὐθύς.

7. **σορός·** λάρναξ ἢ κιβωτός, ἐν ᾗ ἔθαπτον τοὺς νεκρούς.

8. **ὑπερβάλλομαι·** νικῶ. **μεγαλοδωρίᾱ·** δῶρα μεγάλα διδόναι.

9. **ἄγρυπνος** ἀγρυπνεῖ ἀγρυπνίᾳ· ὁ μὴ δυνάμενος καθεύδειν.

12. **θαπτομένῳ·** ἐν ᾧ ἐγὼ ἐθαπτόμην.

14. **ζῴης·** ὡς μακροτάτην ζωὴν ἔχοις· εὔχεται δὴ τοῦτο.

12

27. **παράσῑτος·** ὁ δειπνῶν παρὰ πλουσίῳ ἀνδρί· κόλακες δ' ἦσαν οἱ τοιοῦτοι. **πλέον τοῦ ἱκανοῦ·** λίαν πολύ, πλέον τοῦ δέοντος.

## Page 70.

1. **ἀπεπνίγην·** ἀποπνίγοιτό τις ἂν εἴ τι ἐμπαγείη ἐν τῷ τραχήλῳ, ὥστε μὴ δύνασθαι πνεῖν.

10. **Τῑθωνός·** ἀνὴρ τῆς Ἠοῦς· ἡ δὲ θεὸς οὖσα ἀθάνατος ἦν, ὥστε ἤθελε καὐτὸς γενέσθαι ἀθάνατος· εὐχομένης οὖν τῆς Ἠοῦς, ἔδωκεν αὐτῷ ὁ Ζεὺς ἀθάνατον εἶναι. ἀλλ' οὐ γὰρ ηὔξατο καὶ ὡραῖος ὢν διατελεῖν, ἐγήρασκεν ἀεὶ ὁ κακοδαίμων, καὶ ἤδη ηὔχετο ἀποθανεῖν· τοῦτο δ' οὐκέτι δυνατόν, ἐπεὶ οὐκ ἀναλαμβάνουσιν οἱ θεοὶ τὰ δοθέντα.

11. **σύντομος·** βραχύς.

13. **ζωρός·** ἄκρατος· ἄνευ ὕδατος. ἔπινον μέντοι οἱ πάλαι μετὰ πολλοῦ ὕδατος τὸν οἶνον.

14. **κύλιξ·** ποτήριόν τι πλατύ, ἐπὶ βάθρου ἑστηκός.

20. **μειρακίσκος·** μειράκιον.

[158]

22. **σφαλείς·** ἁμαρτῶν.

23. **ἀφάρμακτος·** ἄνευ φαρμάκου.

24. **ἐκτάδην·** ἐκτεταμένος χαμαί. **ὑποβολιμαῖος·** ἐάν τις ἕτερον μὲν ὑφέλῃ, ἕτερον δὲ ὑποθῇ, οὗτος δὴ ὑποβολιμαῖος. ὑπεβάλλοντο δὲ οὕτως παιδία, ὥστ' ἐξαπατᾶν τοὺς τοκέας.

27. **ἀστεῖος·** γελοῖος, χαρίεις.

29. **αἰφνίδιος·** ἀπροσδόκητος.

**Page 71.**

4. **λεωφόρος·** ὁδὸς ἡ φέρουσα τὸν λεών, τοὺς πολλοὺς δηλαδή· τίς δ' ἡ λεωφόρος τοῦ θανάτου;

13

Κράτης Θηβαῖος μαθητὴς ἦν τοῦ Διογένους.

9. **ὁλκὰς** ναῦς ἥτις φορτίον φέρει· καὶ στρογγύλη καλεῖται, ἐπεὶ μακραὶ ἦσαν οἱ πολεμικαί. **ἀνεψιός·** ἀδελφῶν τέκνα ἀνεψιοί.

11. **ἀνάειρε·** ὡς παλαίων λέγει, αὐτὸς μὲν ἀρεῖν τε καὶ καταπαλαίσειν τὸν ἕτερον, ἐὰν μὴ ἑαυτὸν τοῦτο ποιῇ ὁ ἕτερος.

16. **ἀφιείς·** καταλιπών.

19. **τεκμαίρομαι** χρώμενος τεκμηρίοις, ὥστ' εἰκάζειν ὅτι μέλλει γενήσεσθαι.

20. **τὸ ὄνειρον**, τὰ ὀνείρατα· ταῦτα φοιτᾷ πρὸς ἡμᾶς τῆς νυκτός, ὅταν καθεύδωμεν. **Χαλδαῖοι** μάγοι καὶ γόητες καὶ δὴ καὶ ἀστρονομικοί.

21. **Πύθιος** Ἀπόλλων· ἐν Πυθοῖ γὰρ τὸ μαντεῖον.

22. **κράτος·** σθένος· ῥώμη.

23. **ῥέπει** μὲν ἁτέρα πλάστιγξ τῆς τρυτάνης, ἐὰν εἰστιθῇς βάρος μεῖζον τῆς ἑτέρας· αὕτη δ' ἂν εἴη ἡ τῆς τρυτάνης ῥοπή.

24. **πέρας·** τέλος, τέρμα.

## Page 72.

2. **συγγενής·** ὁ ἐν γένει ὤν· ὁ προσήκων.

4. **Κίρρα·** πόλις μικρά, οὗπερ καὶ ὁ λιμὴν τῶν Δελφῶν.

[159]

5. **Ἰάπυξ·** ἄνεμος ἀργέστης, ὡς ἀπὸ τῆς Ἰαπυγίας τῆς Ἰταλίας πνέων· οὔτε βορέας οὔτε Ζέφυρος, ἀλλὰ μεταξὺ ἀμφοτέρων. **ἀνατρέπεται** τὸ πλοῖον ἐπειδὰν τὸ μὲν ἄνω κάτω γένηται, τὸ δὲ κάτω ἄνω.

7. **ἐννοῶ·** ἐν νῷ ἔχω· φροντίζω.

10. **ἡ κότινος** ὥσπερ ἀγρία τις ἐλαία ἐστίν.

12. **πίθος·** ἄγγος πήλινον μέγιστον, ἐν ᾧ ᾤκει ὁ Διογένης οὐκ ἔχων ἄλλην οἰκίαν. **ἡ χοῖνιξ** ἔχει τέτταρας κοτύλας· ἔστι δὲ ὄγδοον μόριον τοῦ ἑκτέως, ὁ δ' ἑκτεὺς ἕκτον μόριον τοῦ μεδίμνου· πόστον ἄρα μέρος τοῦ μεδίμνου ἡ χοῖνιξ;

18. **αὐτάρκεια·** τὸ αὐτάρκη εἶναί τινα· ὅταν ἅλις τις ἔχῃ αὐτὸς καθ' ἑαυτόν, τῶν ἀλλοτρίων μὴ ἐπιθυμῶν.

23. **ἠμέλουν·** οὐδὲν ἔμελεν αὐτοῖς.

26. **εἰκότως·** κατὰ τὸ εἰκός· οὐκ ἄνευ λόγου· εὖ ποιοῦντες.

27. **διερρυηκότες·** ὥσπερ ἐν ῥεύματι πλούτου καὶ τρυφῆς ὄντες· ὥσπερ κατὰ ῥοῦν φερόμενοι ὑπὸ ποταμοῦ.

28. **σαπρός·** οὐχ ὑγιής· κατατακείς. τὸ δέρμα γὰρ σαπρὸν γίγνεται χρόνῳ καὶ ὑετῷ. **βᾱλάντιον·** πήρα μικρά, ἐν ᾗ κατέκειτο τἀργύριον.

## Page 73.

1. **πυθμήν·** τὸ κάτω μέρος. **στέγω·** κατέχω· τοιοῦτο γὰρ τὰ βαλαντίου τρήματα ἔχον οὐ κατεῖχε τὰ κέρματα μὴ διολισθάνοντα οἴχεσθαι.

3. **ἐπαντλῶ·** ἀρύσας ὕδωρ εἰσχέω.

6. **ὀβολόν·** τὰ πορθμεῖα λέγει, ἅπερ ἐχρῆν ἐκτίνειν τῷ Χάρωνι.

οὐκ ἔστιν ὅπως οὐ γιγνώσκεις τούτους, ὦ μαθητά· αἰσθάνει δήπου Ἀλέξανδρον μὲν ὄντα τὸν Μέγαν, Ἀννίβαν δὲ τὸν Καρχηδόνιον, τὸν ὀλίγου δέοντα νικᾶν τοὺς Ῥωμαίους, τρίτον δὲ Σκιπίωνα τὸν νικήσαντα τὸν

[160]

Ἀννίβαν· ὁ δὲ Μίνως, πρότερον γενόμενος βασιλεὺς τῆς Κρήτης, ὁ τὰς πολλὰς ναῦς κεκτημένος, οὗτος δὴ φανερός ἐστι κριτὴς ὢν τῶν ἐν Ἅιδου. ἐὰν μέντοι σὺ φυσικός τις εἶ, κἂν τύχοις ἀγνοῶν καὶ περὶ τούτων.

10. **Λίβυς·** ἐκ Διβύης.

20. **στρατηγὸς** στρατηγεῖ ἄγων τὸν στρατόν.

22. **διαφέρω·** ἀμείνων εἰμί.

23. **ἐν μέρει·** ὁ μὲν πρῶτον, ὁ δ' ὕστερον.

## Page 74.

1. **πλέον ἐνέγκαιτο ἄν·** πλεονεκτῆσαι ἄν, πλέον ἂν ἔχοι.

2. **ἔπαινος·** εὐλογία. **ἐξ ἀρχῆς·** τὸ πρῶτον.

3. **περιβάλλομαι·** ἐνδύομαι· περιβάλλω ἐμαυτῷ ὥσπερ ἐσθῆτα.

4. **ἀρχή·** τὸ ἄρχειν.

5. **ἐξορμῶ·** ἐξέρχομαι. πρῶτον μέν τις ἐξορμᾷ, τέλος δ' ἀφικνεῖται. **Ἰβηρίᾱ** μεταξὺ τοῦ τε πελάγους καὶ τοῦ ὠκεανοῦ· ἔστι δὲ γῆ ἀγρία καὶ ὀρεινή, ἐν ᾗ μία τῶν Ἡρακλείων στηλῶν. **ὕπαρχος·** ἄρχων δεύτερος.

6. **κριθείς·** νομισθείς.

7. **ἑσπέριος·** τὰ πρὸς ἡλίου δύσιν.

8. **Ἠριδανὸς** ποταμὸς ἐν τῇ Ἰταλίᾳ.

11. **τὰ προάστεια** μέρη τῆς πόλεως ἔξω μὲν τῶν τειχῶν, ἐγγὺς δέ. **προὐχούσης·** προέχει ἡ πρώτη.

13. **δακτύλιος·** κύκλος περὶ τοῦ δακτύλου περικείμενος.

14. **γεφυρῶσαι·** γέφυρά ἐστι χῶμα γῆς ἐν ποταμῷ, ὥστε διαβαίνειν· οἱ γὰρ νεκροὶ συννενησμένοι ἐπλήρουν τὸν ποταμόν.

15. **Ἄμμων** Ζεὺς μαντεῖον εἶχεν ἐν τῇ Λιβύῃ. ὁ δ' Ἀλέξανδρος ἔφασκεν υἱὸς εἶναι τοῦ Ἄμμωνος· τὴν γὰρ μητέρα ἐνύπνιον ἑορακέναι, ὡς δράκων πατὴρ εἴη.

16. **ἐνύπνιον·** ὄνειρον.

17. **ὁμολογῶ·** οὐκ ἀπαρνοῦμαι. **ἀντεξεταζόμενος·** ἀντιμαχόμενος ὥστ' εἰς πεῖραν ἐλθεῖν καὶ δεῖξαι ὁποιός ἐστιν.

19. **συμπλέκομαι·** συμβάλλω μάχην· παλαιστῶν δ' ἐστὶ τὸ ῥῆμα.

20. **τῷ τολμήσαντι·** ἐάν τις τολμᾷ.

[161]

22. **πατρῷος·** τοῦ πατρός. **αὐξάνοι** τις ἂν ποιῶν μείζω τὰ ἕτοιμα.

23. **ἐκτείνοι** δ' ἄν τις ποιῶν μακρότερα τὰ ἕτοιμα. **ὁρμή·** ῥοῦς, ῥεῦμα, δρόμος.

24. **ὄλεθρος·** κάκιστος ἄνθρωπος. **Ἰσσὸς** ποταμὸς Κιλικίας.

25. **τὰ Ἄρβηλα** πόλις Ἀσσυρίας· ἡ δὲ μάχη τῷ ὄντι ἐν τοῖς Γαυγαμήλοις ἐγένετο. **ἀποστὰς** κτλ. οὐκέτι ἐπαινῶν τὰ πατρῷα, ἤθελε σέβεσθαι ὡς ὢν θεός, καὶ μετήλλαξε τὸν τῆς διαίτης τρόπον ὥστε μιμεῖσθαι τοὺς Μήδους.

27. **μιαιφονῶ·** φονεύω· δι' ὀργῆς γὰρ ἀπέκτεινα τὸν Κλεῖτον ἐν τοῖς πότοις.

28. **συνελάμβανε δ' ἐπὶ θανάτῳ** ἄλλους τε καὶ τὸν Καλλισθένην καὶ τὸν Ἡφαιστίωνα.

29. **ἐπ' ἴσης·** ἐξ ἴσου· δικαίως, ὥστε μετέχειν πάντας τῶν ἴσων καὶ τῶν δικαίων.

**μετεπέμπετο** ἡ πατρὶς ἐμέ· κατελθεῖν γὰρ ἐκέλευσεν.

## Page 75.

2. **ἰδιώτης·** οὐκ ἄρχων.

3. **καταδικασθείς·** ἁλοὺς ἐν τῷ δικαστηρίῳ, ἐπεὶ κατέγνω αὐτοῦ ὁ κριτής.

4. **ἀπαίδευτος** κτλ. οὐ πεπαιδευμένος ὥσπερ οἱ Ἕλληνες, τῇ αὐτῇ παιδείᾳ.

5. **Ὅμηρον** γὰρ ἐθαύμαζε πολὺ ὁ Ἀλέξανδρος, εἶχε δ' ἀεὶ μεθ' ἑαυτοῦ τὰ ἔπη.

6. **Ἀριστοτέλης** Σταγιρίτης, φιλόσοφος ὢν κλεινότατος, ἐδίδασκε τὸν Ἀλέξανδρον. **σοφιστής·** φιλόσοφος.

14. **εἰκὸς** ἦν· προσθὲς τὸ λέγειν.

17. **θρασύς·** τολμηρός· θαρρῶν. **φήμη·** δόξα· τὰ ὑπὸ πάντων λεγόμενα.

19. **διαφέρω·** ἀμείνων εἰμί.

20. **παρελθὼν** κτλ. ἄρχων γενόμενος ὥστε διοικεῖν τὰ τῆς πόλεως.

21. **μετῆλθον·** ἐδίωξα.

22. **ἀπώλεια·** ἀπολέσας τὰς Θήβας καὶ ἀναστάτους ποιήσας.

[162]

23. **χειροτονῶ·** ἐάν τινα οἱ πολῖται αἱρῶνται ἐπ' ἀρχήν, χειροτονοῦσι προτείνοντες τὰς χεῖρας· χειροτονεῖται δ' ὃς ἂν πλείστους ἔχῃ τοῦτο δρῶντας.

24. **ἀγαπῶ·** στέργω, ἐπαινῶ· ὡς ἐξαρκοῦντος τούτου· ἐὰν δὲ μὴ ἐξαρκῇ μηδ' ἀποχρῇ, οὐκ ἀγαπῶ.

26. **Γρανῑκός·** ποταμὸς τῆς Μυσίας.

28. **τὰ ἐν ποσίν·** τὰ ἐμποδών· ὅ τι ὁρῴην. **χειρούμενος·** νικῶν.

## Page 76.

4. **σχεδία·** πίνακες ἢ δένδρα συνδεθέντα, ὥστε πλεῖν.

6. **Τύρος·** πόλις Συρίας· ἴσθι αὐτὸν ἐκπολιορκήσαντα τὴν Τύρον.

8. **ὅρος·** τέρμα, πέρας.

9. **Πῶρος** βασιλεὺς τῶν Ἰνδῶν.

10. **Τάναϊς** ποταμὸς τῆς Σκυθίας.

11. **εὐκαταφρόνητος·** ῥᾴδιος καταφρονῆσαι.

12. **ἠμυνάμην·** ἀπεωσάμην, ἀπεδίωξα.

13. **συγγνωστός·** οὐ νέμεσις· εἰκὸς γάρ. ἐὰν μή τις λάβῃ δίκην, συνέγνω τῷ ἁμαρτόντι.

15. **τελευταῖος·** ὁ ἐν τελευτῇ· ὕστατος. τοῦτο δὲ λέγει τελευτῶν.

18. **ἐῶ λέγειν·** οὐ λέγω τοῦτό γ', ἄλλα γὰρ ἐρῶ.

19. **ἰσχύι·** σθένει· κατὰ κράτος. **ἀπιστίᾱ·** τὸ μὴ πιστὸν εἶναι.

20. **προφανής·** φανερός, δῆλος, ἐμφανής. **ὀνειδίζω·** λέγω ὡς ὄνειδος ὂν καὶ αἰσχύνην.

21. **ἐκλελῆσθαι·** λεληθέναι· μὴ μεμνῆσθαι.

22. **ἕως·** πρῶτον φῶς τῆς ἡμέρας· ἔπειτα δὲ καὶ ἡ ἀνατολὴ καὶ ὁ ἐκεῖ χῶρος.

23. **ἀναιμωτί·** ἄνευ αἵματος.

24. **τὰ Γάδειρα·** πόλις Ἰβηρίας, οὗπερ καὶ ἡ ἑτέρα τῶν Ἡρακλείων στηλῶν. **ὑπάγομαι·** ὑποχειρίους ποιῶ καὶ ὑπηκόους.

## Page 77.

1. **καθελὼν** τὰ τείχη χαμαί· τοῦτο γὰρ τὸ καθαιρῶ.

7. **ἁμιλλῶμαι·** ἐρίζομαι, ἀγωνίζομαι.

[163]

15

17. **ὤν·** εἰ ἦν· ἀλλ' οὐ γὰρ ἦν.

24. **ἐξηπατῆσθαι·** ἔψευσθαι.

## Page 78.

5. **ἔφθασα·** οὐκ ἐπέσκηψα πρὶν ἀποθανεῖν.

10. **παρειληφότα·** ἐπεὶ τάχιστα παρέλαβες.

11. **προστάτης·** ὁ προϊστάμενος καὶ ἀμύνων.

12. **δώδεκα** θεοὶ μέγιστοι ἦσαν· Ζεύς τε καὶ Ἥρα, ἔπειτα Ποσειδῶν, Δημήτηρ, Ἥφαιστος, Ἀθηνᾶ, Ἀπόλλων, Ἄρτεμις, Ἄρης, Ἀφροδίτη, Ἑρμῆς, Ἑστία.

13. **ὁ δράκων** γὰρ ἐδόκει θεός τις εἶναι· ὁ γοῦν Ἀσκληπιὸς ἱεροὺς εἶχε δράκοντας.

16. **Πτολεμαῖος·** στρατηγός τις τῶν ἀμφ' Ἀλέξανδρον· ἐγένετο δὲ βασιλεὺς τῆς Αἰγύπτου. **οἱ ὑπασπισταὶ** πρῶτοι ἦσαν τοῦ Μακεδόνων στρατοῦ.

22. **Ἄνουβις** καὶ **Ὄσῖρις** θεοὶ Αἰγύπτιοι· ὁ μὲν Ἄνουβις κυνοκέφαλος.

24. **λίμνην·** τὴν Στυγός. τὸ δὲ στόμιον τὸ Ἅιδου.

28. **σωματοφύλαξ·** ὁ φυλάττων τὸ σῶμα· δορυφόρος τις.

## Page 79.

1. **προσκυνῶ·** σέβω. **Βαβυλών·** πόλις μεγίστη Βαβυλωνίας. **τὰ Βάκτρα** πόλις μεγίστη τῆς Βακτριανῆς· ἐνταῦθα γὰρ κατῴκισεν ὁ Ἀλέξανδρος τοὺς

μισθοφόρους.

2. **θηρίον·** ἄγριον ζῷον· ἐλέφας, ὡς δοκεῖ.

3. **ἐπίσημος·** φαιδρὸς ὁρᾶν. **ταινίᾱ·** μίτρα, ἄμπυξ, διάδημα τῆς κεφαλῆς, σημεῖον ὂν νίκης ἢ ἀρχῆς βασιλικῆς.

7. **παρὰ τῆς τύχης·** τὰ τῆς τύχης δῶρα, οὐ τὰ οἰκεῖα.

9. **ἐπίτριπτος·** ποικίλος, ψευδής, ἄπιστος, ὥσπερ ἀλώπηξ τις.

11. **καταχρῶμαι** ὅταν χρῶμαι μὴ φειδόμενος πρὸς τὸ κέρδος. **φιλοτιμία·** ἐπιθυμία τιμῆς καὶ δόξης.

12. **θωπεύω·** κολακεύω.

13. **τἀγαθοῦ·** ἔφασκον γὰρ οἱ φιλόσοφοι μόνην τὴν ἀρετὴν ἀγαθόν.

16. **τεχνίτης·** τέχνῃ χρώμενος.

18. **κατηριθμήσω·** κατελογίσω.

[164]

20. **ἄκος·** φίλτρον, φάρμακον νόσου.

23. **παύσῃ** κτλ. οὐκέτι ἀνιάσῃ· λήξεις λυπούμενος. τὸν μὲν **Κλεῖτον** ἀπέκτεινεν ἐν πότοις ὁ Ἀλέξανδρος, τὸν δὲ Καλλισθένην ὡς προδότην ὄντα.

27. **τὴν ἑτέρᾱν·** προσθὲς τὸ ὁδόν.

16

## Page 80.

2. **ἔξαρνος γίγνομαι·** ἀπαρνοῦμαι, οὔ φημί.

4. **ὤν·** εἰ ἦσθα· καὶ γὰρ οὐκ ἄρ' ἦσθα.

6. **μάντευμα·** μαντεῖον, χρηστήριον.

10. **κατεπλάγησαν·** ἐφοβοῦντο· αὐτὸς γὰρ ὁ φοβούμενος τῷ ἐκπλαγέντι.

13. **ἀξιόμαχος·** ἄξιος μάχεσθαι.

14. **συμφέρεσθαι·** συμβάλλειν μάχην. **τοξάριον·** δῆλόν ἐστι τόξον ὂν μικρόν, ὥσπερ καὶ πελτάριον πέλτη μικρά. τοῖς δὲ **γέρροις** ἐχρῶντο ἀντὶ πελτῶν· ἦν δὲ ταῦτα λύγοι πεπλεγμέναι, ὥσπερ τάλαροι.

